λον, ὅτι ἡ χρεία προσθήκην ἔχει περιστατικήν, οἷον προσώπου καὶ πράξεως. αἱ δὲ περιστάσεις τὸν λόγον ἀεί πως εἰώθασι μερικώτερον ἀπεργάζεσθαι, ὡς ἐν ταῖς ὑποθέσεσιν. οἷον, (f) εἰ γέροντι πολιτευτέον; ἔστι δὲ ἀποφαντικὴ ἡ γνώμη πάντως. τοῦ γὰρ καλουμένου λόγου προφορικοῦ, τέσσαρά τινα γενικὰ σχήματα προσιεμένου, μόνον τὸ ἀποφαντικὸν τῆς γνώσεως οἰκεῖόν ἐστι. τὰ δὲ σχήματα καὶ εἴδη τοῦ προφορικοῦ λόγου, οὕτω δύναιο ἂν διαιρεῖν. α. τὸ τῆς γνώσεως, τὸ καὶ ἀποφαντικὸν καὶ διηγηματικόν. περὶ ὧν γὰρ ἔγνω τις, καὶ ἀπεφήνατο, καὶ διηγήσατο. τοῦτο δὲ καὶ κατάφασιν δέχεται, οἷον, ((g) αὐθαδία τοι σκαιότητ' ὀφλισκάνει.) καὶ ἀπόφασιν, οἷον, ((h) οὐδεὶς ἑκὼν πονηρὸς, οὐδ' ἄκων μάκαρ.) β. τὸ τῆς ὀρέξεως ἐν τῷ βούλεσθαι εἰδέναι τι, καὶ γίνεται τὸ ἐρωτηματικὸν, οἷον, ((i) τίς πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις, ἠδὲ τοκῆες;) γ. τῆς ὀρέξεως, ἐν τῷ βούλεσθαι πράττεσθαί τι, καὶ ποιεῖ τὸ κλητικὸν καὶ προσφωνητικόν (k) ὦ φίλοι, (l) ὦ πέπον, (m) ὦ μενέλαε. (n) ἥφαιστε πρόμολ' ὧδε. (o) νῦν δ' ἔμπης ξυνίει ὦκα. (p) ἔρρ' ἐκ νήσου θᾶσσον. ὧν ἐντρέπου οὐ μηδέν. δ'. τῆς ὀρέξεως διαστελλούσης τὸ πρᾶγμα, ἤτοι εὐξαμένης, οἷον, (ἀλλ' (q) ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε.) καὶ, ((r) αἲ γὰρ ζεῦ τε πάτερ, καὶ ἀθηναίη, καὶ ἄπολλον, μήτε τις οὖν τρώων θάνατον φύγοι) (s) τοῦτο ποιεῖ τὸ εὐκτικόν. ἢ ὑποτιθεμένης τι, καὶ ἔσται τὸ ὑποθετικὸν εἶδος, ((t) οὐκ ἀχαιοὶ τρῶας δηώσουσιν, ἑλόντες ἴλιον ἱρήν;) εἰσὶ δὲ ταῦτα παντοῖα καὶ πολύμορφα κατὰ τὰς διαθέσεις καὶ ἐνθυμή-

σεις διαφόρους, περὶ ὧν ἐν τῷ παρόντι πραγματεύε-
σθαι ἀνοικείως τ' ἂν ἔχειν ἴσως δόξειε, καὶ ἡμεῖς ἐν ἄλ-
λοις, θεοῦ θέλοντος, διαληψόμεθα ἀκριβέστερον.
τῷ δὲ προγυμνάσει διελόντος αὐταρκῶς τὰ γνωμικά,
προσλαμβάνει τις ἂν ἐκεῖθεν τὰ ῥηθέντα. προσθέμε-
νος δὴ τὸ, καὶ ἄνευ αἰτίας ἐξενέγκασθαι τὰς γνώμας,
ὡς τὸ τοῦ (u) σόλωνος, (πολλάκις ἐξ ὀλίγης ὀδύνης μέγα
γίνεται ἄλγος.) καὶ μετ' αἰτίας, ὡς τὰ (x) μενάνδρου.

πλεονεξία μέγιστον ἀνθρώποις κακόν.
οἱ γὰρ θέλοντες προσλαβεῖν τὰ τῶν πέλας,
ἀποτυγχάνουσι πολλάκις νικώμενοι
τὰ δ' ἴδια προσθέασι τοῖς ἀλλοτρίοις.

καὶ ἔτι, τὸ σύγκρισιν περιέχειν τινάς. (y) οὐκ ἄρα φύλ-
λων γενεὴ, τοίηδε καὶ ἀνδρῶν) ἄλλως δὲ λέγεσθαι κατ' ἐπί-
κρισιν, οὐδ' ἄρα πῶς ἔστιν (z) (ἐν πάντεσσ' ἔργοισι δαίμονα
φῶτα γενέσθαι.) καὶ αὖθις, (A) (ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς
ὡς τὸν ὁμοῖον.) τὸ δὲ ἀληθεύειν ἢ μὴ, τῶν γνωμῶν οὐκ ἔστιν
ἴδιον, ἀλλ' ἀναφέρεται πρὸς τὴν δοκιμασίαν τῶν ἀκου-
όντων. ὥσπερ καὶ τὸ ἄδοξον, ἢ ἔνδοξον, πρὸς τὰς τῶν
ἀκουόντων κρίσεις. διὸ καὶ ἀνασκευὴ καὶ ψόγος οὐχ
ἧττον γένοιτ' ἂν γνώμης, ἤπερ διηγήματος καὶ μύ-
θου. ὡς τὸ εὐριπίδειον, (B) (ἐσθλῶν κακοὺς υἱοὺς εὐτυχέσ-
θαι.) διώσαιτ' ἄν τις ἐλέγχειν ἐκ τῶν (C) πλατωνικῶν,
ὅτι οὐ μή ποτ' ἂν εὐτυχεῖς γένοιντο οἱ κακοί. οὕτω καὶ
ὁ πλούταρχος πολλὰς γνώμας ποιητικὰς διωρθώ-
σατο, ἐπεὶ (D) τῷ παντὸς δεῖ τῶν ποιητῶν ἀκούειν, οἷον τὰ.

(ἴστε

(ὅσοις γὰρ ἂν τύχωσιν ἐμπορεύεται Κείνω εἰ δοῦλος καὶ ἐλεύθερος μέλλῃ.) οὕτω, (οὐκ ἔστι δοῦλος ἂν ἐλεύθερος μέλλῃ.) αἱ δὲ δόξαι περὶ τῶν αὐτῶν, οὐκ εἰσὶν αἱ αὐταὶ παρὰ πᾶσιν· οἷον τὸ (E) ἱππωνάκτειον οὐκ ἀρέσκοι ἄν τισι τῶν πολυχρησίαν ἀσκούντων ἐθνῶν. (ὀλίγα φρονοῦσιν οἱ πεπωκότες χάλαι.) οὐδ᾽ ὁ μαντικὸς ἐπαινέσειεν αὐτὸ (F) σόλωνος τοῦτο. (ἄμμιγα τοῦ ἀθανάτων ἀφανὴς νόος ἀνθρώποισιν.) ἔτι μικρὸν ἐπιστητέον πρὸς τὰ εἰρημένον ἐν τῷ ὁρισμῷ, ὅτι λόγος ἡ γνώμη. μόνον γὰρ διὰ λόγου γένοιτ᾽ ἂν, τῆς χρείας καὶ πρακτικῆς εἶναι δυναμένης. οἷον (FF) παρακύψας τις ἐπ᾽ ὀλίγον, καὶ αὐτίκα ἀναδυόμενος καὶ ἀποκρυφθεὶς, οὐδὲν μὲν εἶπεν, ἐδήλωσε δ᾽ ἐκ τοῦ πραττομένου, ὡς ὀλιγοχρόνιος καὶ ἀκαριαία ἡ τῆς ἀνθρωπίνης ζωῆς ῥοπή, καὶ ὁ (G) μελήτιος ὑπ᾽ ἀρειανῶν προαχθεὶς ὡς ἐπαινέτης ἐσόμενος τοῦ ἀσεβοῦς δόγματος, ἐπειδὴ ἀναφανδὸν ἀπεφήνατο περὶ τῆς οὐσίας τοῦ υἱοῦ, καθάπερ ἡ ἐν νικαίᾳ σύνοδος παραδεδώκει, προσδραμών τις τῶν ἐκεῖ διακόνων, καὶ ἔτι λέγοντος ἐπιβαλὼν τὴν χεῖρα ἔβυσεν αὐτοῦ τὸ στόμα, ὁ δὲ τῇ χειρὶ σαφέστερον, ἢ τῇ φωνῇ τὴν γνώμην κατεσήμαινε, καὶ τρεῖς μόνους εἰς τὸ προφανὲς δακτύλους ἐκτείνας, εἶτ᾽ αὖτον πάλιν συνέλεγε τούτους, καὶ τὸν ἕνα μόνον ὀρθὸν τῷ σχήματι τῆς χειρὸς αἰνίζων ἅπερ ἐφρόνει. τὸ δὲ κεφαλαιώδη εἶναι τοῦτον τὸν λόγον, τὰς διεξοδικωτέρας καὶ μακρὰς καὶ περιπεπλεγμένας τῶν ῥήσεων ἀποχωρίζει τῆς γνωμικῆς ἐννοίας, ὡς εἰκὸς ἦν τὸ σύντομον καὶ

διὰ βραχέων πολλὴν καὶ βαθεῖαν φρόνησιν ἐμφαῖνον. κεφαλαιώδη γὰρ τὰ συντετμημένα καὶ συνηγμένα λέγεται. διὸ καὶ θαυμάζεται τὰ ἀποφθεγματικὰ μάλιστα· οἷον, (H) μηδὲν ἄγαν, καὶ (I) γνῶθι σαυτόν. προσθείη δ' ἄν τις κατ' Ἀριστοτέλη τούτοις, καὶ τὸ τὴν γνώμην καθολικὴν εἶναι. τουτέστι νόημα περιέχουσαν οὐ καθ' ἕκαστον μερικῶς κατασκευαζόμενον, ἀλλὰ πρὸς ἅπαντας ἐξ ἴσου ἐπεκτεινόμενον. οἷον, (K) (οὐκ ἀρετᾷ κακὰ ἔργα, κιχάνει τοι βραδὺς ὠκύν.) ἐπιφέρεται δὲ καὶ ἡ τῆς γνώμης ἐφαρμοστις καὶ οἱονεὶ χρεία, (L) (ὡς, καὶ νῦν Ἥφαιστος ἐὼν βραδὺς εἷλεν Ἄρηα.) ὠκύτατόν περ ἐόντα. εἴποι γὰρ ἂν οὕτως ὁ Ἥφαιστος, διότι αὐτὸς βραδὺς ὑπάρχων τὸν Ἄρη ταχύτατον ὄντα εἷλε, μάθοι τις ἄν, τὰ κακὰ τῶν ἔργων πάντως λαμβάνειν ποτὲ τὸν ὀφειλόμενον μισθόν. καὶ οὕτω δὴ φύονται καὶ γεννῶνται παραινέσεις καὶ ὑποθῆκαι, ταῖς δ' ὑπομνήσεσι, καὶ συμβουλαῖς, καὶ παραγγελίαις, καὶ τοῖς παραγγέλμασι, καὶ ἀπαγορεύμασιν, ἢ καὶ ἀποτροπαῖς, καὶ τοιούτοις ἄλλοις τῶν τρόπων, οἷς τὰ γνωμικὰ καθόλου προφερόμενα πρός τινας προστατικῶς ἐπιτηδεύονται καὶ προσοικειοῦνται, ὡς μὲν ἐπιτοπλεῖστον τῶν γνωμῶν αἰτιολογικῶς ἐπενεχθεισῶν, ἔστι δ' ὅτε καὶ προσφωνήσεσιν ἐμπεπλεγμένων. διὰ τοῦτο παραινέσεις καὶ ὑποθῆκαι πρός τινας, καὶ τὸν δεῖνα ἢ δεῖνα αὐτὰς τὰς ἀναφορὰς ἔχουσιν· οὐκ ἄρα γνώμη κυρίως τὸ πρὸς Τηλέμαχον εἰρημένον, (M) (ἄλκιμος ἔσσ' ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπῃ,) ἀλλὰ παραίνεσις περὶ ἀνδρείας.

ὑπο-

ὑποτιθεμένη, ὅτι καὶ παρὰ τοῖς ὕστερον ῥητορεύουσιν ἡ ἀρετὴ ἔνδοξος. μηδ' εἴη ἀναπλῶ τῷ λόγῳ γνώμη ἥδε, (N) (μή μοι γένοιτο λυπηρὸς εὐδαίμων βίος.) μηδ' ἥδε, (O) μή μ' εὐλογείτω τἀμά τις κτείνων τέκνα.) ἀλλ' ἀπεύχεται μὲν ὁ λόγος τήν τε λύπην, καὶ τὴν αὐτοχειρίαν τοῦ τῶν τέκνων θανάτου. παρατίθησι δ' ἅμα γνωμικῶς, ὅτι ὁ λυπηρὸς βίος, καὶ τὸ κτείνειν τὰ ἴδια τέκνα φευκτέον, κἂν μέλλῃ τις δόξαν εὐδαιμονίας καὶ ἀρετῆς κτήσασθαι. ἔτι ἡ γνώμη χρήσιμον ἀεί τι πρὸς τὸν βίον ὑποτίθεσθαι φιλεῖ, καὶ οὐδέ ποτε χαριεντίζεται ἢ σκώπτει, ὥσπερ ἐνίοτε αἱ χρεῖαι, καὶ τὰ τῶν ἀποφθεγμάτων ἀστεϊσματα. τὸ τοίνυν εἰρημένον ὑπ' ἀφθονίου, λόγον τοῦτον εἶναι προτρέποντα ἢ ἀποτρέποντα ἐπί τι, ἐξήγησίς ἐστι τοῦ χρησίμου. οὕτω γὰρ χρησίμως λέγεταί τι, εἰ προτροπὴν ἔχει ἐπὶ τὰ καλὰ καὶ ἐπαινετὰ, καὶ ὅλως τὴν ἀρετὴν, καὶ ἀποτροπὴν ἀπὸ τῶν αἰσχρῶν, καὶ ψεκτῶν, καὶ τῆς κακίας. μνησθέντων δ' ἡμῶν τῶν περιστατικῶν, εἴπωμεν, τί περίστασις, καὶ πόσαι αὗται. ἔστι δὴ περίστασις, περιβολὴ τῶν τῷ προβλήματι παρεπομένων, ἢ καὶ καθ' αὐτὸ ὑποκειμένων. (P) εἰσὶ δὲ τὰ περιστατικὰ ἕξ· πρόσωπον, παυσανίας καὶ Φίλιππος ὁ ἀμύντου. πρᾶγμα. φόνος Φιλίππου. τόπος, ἐν τῇ πομπῇ. τρόπος, τῷ ξίφει. χρόνος, μετὰ τὰς ἑλληνικὰς ὁλοσχερεῖς νίκας ὀλυμπιάδι δεκάτῃ ἐπὶ ταῖς ἑκατόν. αἰτία, ὅτι οὐκ ἐτιμώρησεν αὐτῷ Φίλιππος ὑβρισμένῳ ὑπ' ἀττάλου. προστεθείκασι δ' ἔνιοι καὶ ἑβδόμην, τὴν ὕλην. ἀλλ' οἱ ῥήτορες οὐ χα-

ρίσαντες ἰδίως ἔχουσι, διαμερίζουσι δὲ τῶν ἄλλων ἑκάστῳ,
ὅτῳ ἂν δύναιντο, ὥς φησιν ἑρμογένης. μάλιστα δὲ πως
τῷ τρόπῳ συνοικειοῦται, καὶ εἴη ἂν ἡ ὕλη παρὰ τοῖς ῥή-
τορσιν, ὥσπερ τῆς περιστάσεως περίστασις, καὶ τὸ καθ᾽
ἓν ἕκαστον τῶν περιστατικῶν συναναφαινόμενον. οἷον
παυσανίας ὁ τοιόσδε, καὶ τῷ τοιῷδε ξίφει, ἤγουν ἅρ-
ματι ἐγκεχαραγμένῳ. καὶ ὧδε πλήξας, ἢ κεντήσας, καὶ
ἐν τόπῳ τοιῷδε. τοῦτο δὲ ἐστί, φησὶν ὁ (P) ἑρμογένης, τὸ πᾶν
ἐν ἡμῖν, καὶ λόγοις, καὶ πράγμασι, καὶ δίκαις, καὶ ὑπο-
θέσεσι, καὶ βίῳ. συνεκτικώτατον δὲ γίνεται ἡ αἰτία, καὶ
ἐπιχειρηματικωτάτη. τὴν γὰρ φύσιν τοῦ πράγματος
παρίστησι μάλιστα, καὶ ἔνδηλον ποιεῖται. ἢ καὶ πρὸς
τὰς γνωμικὰς τῶν παραινέσεων ὡς ἐπίπαν παραλαμ-
βάνεται. τὰ δὲ συμβαίνοντά πως ἔξωθεν τῷ πράγματι
θεῖα καὶ θαυμάσια, οἷον τὰ τῶν τεράτων καὶ χρησ-
μῶν, καὶ συμπίπτονται ταῖς ἀνθρωπίναις τύχαις, ἐστὶ
μὲν σπάνια, ὅσαι δ᾽ ἐπιφανεῖς τῶν συμφορῶν, ἐκεῖνο
διὰ πλεῖστον μεμοίρασται τούτων. καὶ προσθείη ἂν
τις ὀρθῶς αὐτὰ, πρὸς τὸ τοῦ τρόπου κεφάλαιον, ἐφ᾽ ὅπερ
δὲ καὶ ἐπὶ τὸ τῆς αἰτίας. οἷον ὅτι χρησμὸς ἦν, παραλέ-
γων τῷ φιλίππῳ φυλάξασθαι ἅρμα. ζητεῖται δὲ περὶ
τῶν προειρημένων ἀεὶ πραγματειῶν, ἐπὶ τί μέρος ἂν
ἀναφέρονται τῆς φιλοσοφίας αὐταί. καὶ φανερὸν δὴ
περὶ τῶν τοιούτων, ὅτι πρὸς τὸ ἠθικόν. αἱ δὲ γνῶμαι αὐ-
ταὶ καθ᾽ αὐτὰς, δῆλον ὅτι καὶ ἀρχαί τινες ὀρθῶς ἂν νο-
μίζοιντο τῆς ἠθικῆς διδασκαλίας, ἔννοιαι κοιναὶ τῆς

φρο-

φρονήσεως ὑπάρχουσι, καθάπερ τῶν ἐπιστημῶν ἄλ-
λαι τινές εἰσι διανοητικαί. διὰ τοῦτο καὶ λημμάτων
ἐπέχουσι τόπον ἐν ταῖς ἠθικαῖς διαλέξεσιν αἱ γνῶμαι.
εἰσὶ δ' αὗται ὥσπερ ὁμολογίαι τινὲς τῆς ἀνθρωπίνης
φρονήσεως, καὶ τὸ κῦρος μάλιστ' ἔχουσι παρὰ τὸ ἀρχαῖ-
ον καὶ πατροπαράδοτον. τὰ γὰρ χθὲς, φασὶ, καὶ πρώ-
ην φυόμενα, οὔτ' ἀξίωμα εὐθὺς οἷά τε περιποιήσασθαι,
οὔτε πίστεως παρὰ πᾶσι τυγχάνουσι. διὸ καὶ ὁ Θέογνις
ἐσπούδασέ που ταῖς αὐτοῦ παραινέσεσι περιάπτειν τὸ τῆς
ἀρχαιότητος ἀξιωματικὸν καὶ πιστὸν, λέγων, (Q) ὅτι
βούλοιτο ὑποθέσθαι ἅπερ αὐτὸς παῖς ὢν ἔμαθεν ὑπὸ
τῶν προτέρων. ὁ μὲν οὖν τῆς διδασκαλίας τρόπος, ὅτι
τῶν χρησιμωτάτων ἐστὶν, οὐδεὶς ἂν ὡς οἶμαι, ἀντιλέ-
γειν τολμῴη. λόγος δὲ ἅπας κατὰ (R) δημοσθένη, μάταιον
ἐστι, πράξεων ἄμοιρος γινόμενος, καὶ ὁ ἠθικὸς μάλιστα. πέ-
φυκε δέ πως τὰ τῶν λόγων. οὔτινος οὖν περὶ πλεονά-
σαντα, τῇ τῶν πραγμάτων λύμῃ περιπεσεῖν. καὶ οἱ
περὶ τῆς ἀρετῆς δὴ πλείστους καὶ ἀκριβεστάτους καὶ καλ-
λίστους τῶν λόγων ἐπιδείξαντες, δειλότατοι σχεδὸν, καὶ
φαυλότατοι ἀνεφάνησαν. οἱ δ' ἥκιστα κομψευόμενοι
ἐπὶ τοῖς λόγοις, ἄριστοι τοῖς ἔργοις καὶ σπουδαιότα-
τοι ἐγένοντο. αἰτία δ' εἶναι μία τούτων δόξειεν ἴσως ἂν
τῷ καὶ ἥδε, ὅτι οἱ πλεῖστοι οὐ διαφάλλαντες οὕτως ἀ-
κροῶνται τούτων, ὅσα τε πολιτικὰ καὶ ἠθικὰ ὀνομάζε-
ται, ὥσπερ τῶν ἐπιστημονικῶν διαλέξεων, ἐν αἷς τῆς
γνώσεως τὸ ἀποτέλεσμα· τῶν δ' ἠθικῶν ἄνευ τοῦ πράτ-
τειν,

τὴν, ὄφελός ἐστιν οὐδέν. ποιούμενοι τοίνυν ταύτας διατριβὰς ὁμοίας ταῖς σχολαστικαῖς καὶ σοφιστικαῖς, οὐδὲν φροντίζουσι τῶν πράξεων, καὶ οὕτως ἁμαρτάνουσι τοῦ τέλους, ὅπερ ἐστὶν ἀρετὴ πρακτική. φέρεται περὶ τούτου καὶ (S) ἀνθρίδα τοῦ λάκωνος ἀπόφθεγμα. ἐρωτηθεὶς γάρ, τί δοκῶσιν αὐτῷ οἱ παρ' ἀθηναίοις φιλοσοφικοὶ λόγοι; ἀπεκρίνατο, ὅτι οὐδὲν ἄλλο ἢ σοφοί μεν, ἀνόητοι δὲ, μὴ χρωμένων αὐτῶν αὐτοῖς. ἔστι δ' ἡ γνῶσις τούτων ὥσπερ ἀναγκαία πρὸς τὸν ἐνάρετον καὶ εὐδαίμονα βίον, καὶ καλλίστη, οὕτως ἀργὴ καὶ ἄπρακτος ὑπάρχουσα, βλαβερά τε καὶ αἰσχρά, διαμενούσης γε καὶ ἐν τοῖς μὴ πράττουσι τὰ καλὰ, τῆς τῶν καλῶν ἐμφύτου τε καὶ ἐκ διδαχῆς προγεγονυίας ἐννοίας καὶ ἐπιστροφῆς. τοιοῦτοί τινες λογοδαίδαλοι γεγονότες οἱ ἀθηναῖοι, τῆς τ' ἀρετῆς κτῆμα δόξαν καὶ δύναμιν ἀπώλεσαν, καὶ ἀνθυπεβλήθησαν τοῖς τῆς κακίας ἐπιτιμίοις, ἀδοξία τε καὶ ἀδυναμία. (T) λέγεται γοῦν, ὅτι παναθηναίοις προπηλακίσαντες οἱ ἀττικοὶ γέροντά τινα, ἐπειδὴ πρὸς τῶν λακεδαιμονίων θεωρῶν τιμώμενον εἶδον, ἀγασθέντες ἐπήνεσαν μετὰ κρότου τὸ πραττόμενον, τότ' ἄρα τῶν σπαρτιατῶν τις, καὶ τῶ σιώ, ἔφη, ἴσασι μὲν οἱ ἀθηναῖοι τὰ καλὰ, οὐ πράσσουσι δέ.

ΑΡΧΗ ΤΩΝ ΥΠΟ-ΜΝΗΜΑΤΩΝ.

ἤια.) ἀπόλλωνα ἐπικαλεῖται ἐπὶ τὴν ποίησιν·

1. ὦ — ἐκ γὰρ μουσάων καὶ ἑκηβόλου ἀπόλλωνος ἄνδρες ἀοιδοὶ ἔασιν ἐπὶ χθόνα. ὥς φησιν ἡσίοδος.

6. φοῖβε ἄναξ.) ἐς ὕψος ἀνατεθαλυίας. ἢ μᾶλλον ῥαδινῆς, ἤγουν καλαῖς καὶ μεγάλαις χερσίν. ὁ δὲ νοῦς. σοῦ τεχθέντος ἐν τῇ δήλῳ, δεδραγμένης τῆς μητρὸς λητοῦς ἐν τῷ ὠδίνειν φοίνικος ἀθαλοῦς ἔρνους, τότε μὲν ἡ νῆσος θείας ὀσμίας ἐνεπλήσθη. ἔχαιρε δ' ἥτε γῆ καὶ θάλασσα σοῦ γεννωμένου. τῆς δὲ ἐν δήλῳ φοίνικος καὶ (a) ὅμηρος μέμνηται ὀδυσ. ζ. καὶ (b) καλλίμαχος φησιν, ὅτι κεκμηκυῖα παρεκλίθη τῇ φοίνικι ἡ λητώ· ὃς καὶ τὴν καλουμένην τροχοειδῆ λίμνην, ἧς μέμνηται (d) ἡρόδοτος κλέοι. (c) τροχόεσσαν ὀνόματι.

11. Ἄρτεμι.) τὸν μὲν ἀπόλλω ὡς ποιητικὸν θεὸν καὶ τιμιώτερον, ἐπεκαλέσατο πρότερον ὁ θέογνις. νυνὶ δὲ καὶ τὴν λεγομένην ἀδελφὴν αὐτοῦ ἄρτεμιν, τῇ δευτέρᾳ τάξει προσκαλεῖται, ὡς προστατήσουσαν καὶ αὐτὴν αὐτοῦ.

12. Τὸ δὲ εἵσατο, ἢ ὡς ἐν ἄλλοις, ἥσατο, ἀντὶ τοῦ ἱδρύσατο. ὅτι δὲ ἀγαμέμνων ἀπαξόμενος τὸν στόλον εἰς τροίαν, ἐν τῇ αὐλίδι τῇ ἀρτέμιδι ἔθυσε. καὶ ἐξιλασάμενος τὴν θεὸν, τὸν (a) ναὸν αὐτῆς ἐκόσμησε. καὶ ὅτι (b) ἡ ἄρτεμις μετέβαλε τὸ ἱερεῖον, μελλούσης ἤδη σφαγήσεσθαι τῆς τοῦ βασιλέως θυγατρὸς, τῶν πολυθρυλήτων ἐστίν. (c) καλλιμάχου δὲ τάδε·

—— σοί δ' ἀγαμέμνων
πηδάλιον νηὸς σφετέρης ἐγκάτθετο νηῷ
μείλιον ἀπλοΐης, ὅτι οἱ κατέδησας ἀήτας.

15. Μοῦσαι καὶ χάριτες.) κάδμος ὁ ἀγήνορος, τοῦ ποσειδῶνος καὶ λιβύης, ἐξ ἀργιώπης τῆς νείλου, (a) ἠγάγετο γυναῖκα ἁρμονίαν, τὴν ἄρεως, καὶ ἀφροδίτης. ἐπὶ δὲ τοῦ γάμου συνελθόντων τῶν θεῶν, μέλος ἐπᾶσαι λόγος τὰς μούσας. καὶ ἐδείκνυον, ὥς φησι (b) παυσανίας, οἱ θηβαῖοι χωρίον ἐπὶ τῆς ἀγορᾶς, ἔνθα ἔφασαν ᾆσαι τὰς θεάς. πάντοτε δὲ μοῦσαι καὶ χάριτες συζεύγνυνται. οὐ γάρ τι ἄνευ μουσῶν ἐν χαρισι γένοιτ' ἂν, οὐδὲ εὔμουσον ἄνευ χαρίτων. ἀπὸ δὲ κοινοῦ ἐπαναληπτέον τὴν ἐπίκλησιν, τοῦ ποιητοῦ δεομένου, τάς τε μούσας καὶ χάριτας ἵλεως εἶναι καὶ ἐνοδῶσαι τὴν ἐπιχείρησιν αὐτοῦ. ὁ δὲ νοῦς· καὶ ὑμεῖς δή ὦ μοῦσαι καὶ χάριτες κλύετ' ἐμοῦ, καὶ περιάπτετε κάλλος τοῖς ἐμοῖς ποιήμασιν, ὥστε καὶ φίλα εἶναι τοῖς ἀνθρώποις αὐτά. τὰ γὰρ καλὰ προσφιλῆ εἶναι, ὑμέτερον ἔπος ἐστὶν, ἐμπεποιημένον τῷ γαμικῷ ὕμνῳ, ὃν ποτ' ᾔσατε περὶ τῷ κάδμῳ. τοῦτο δὲ λέγει ἡ πλάσας αὐτός.

αὐτὸς, ἢ ἀπεκδεξάμενος ἐκτεθεῖν τινὰ ἐν μέλεσί τισι τοι-
ούτοις, οἵοις ἐμελῳδήθησαν ἂν τότε αἱ μοῦσαι. ὁ δὲ πλάτων,
ἐν (c) λύσιδι ἐκτίθησιν, τὸ, φίλον εἶναι τὸ καλὸν, ὥσπερ
ἀρχαίαν παροιμίαν, ἥδε καὶ ἐν βάκχαις κεῖται.

19. Κύρνε σοφιζ.) προσφωνεῖ τάδε τῷ ἑταίρῳ. οὕτω γὰρ
εἰπεῖν εὔλογον, αὐτὸν Κύρνον. τὸ δὲ σοφίζεσθαι κυρίως
ἐστὶ, σοφῶς καὶ γλαφυρῶς καὶ νουνεχόντως ἐκπονῆσαί
τι, καὶ ἴδιον τῆς σοφίας τεχνίτην εἶναι, ὅθεν καὶ οἱ πά-
λαι σοφισταὶ [illegible], ἐπαγγελλόμενοι ἔργα σοφίας διὰ
λόγων. ἐπειδὴ δὲ (a) περὶ τὴν λέξιν οἱ πολλοὶ μόνην ἐ-
πραγματεύοντο, καὶ ἐτερατεύοντο πλεῖστα παραλο-
γισάμενοι τοὺς ἀκούοντας, διὰ τοῦτο κακῶς ἤκουσε τὸ
ἐπάγγελμα· καὶ σοφισταὶ ἐκλήθησαν, οὐκέτι οἱ σοφοὶ, ἀλλ'
ὑποκριταί τινες τῆς σοφίας· καὶ σοφίσματα, αἱ τῶν
διαλέξεων ψευδεῖς διαπλοκαὶ, καὶ πανοῦργοι συλλο-
γισμοί. ὁ νοῦς· τὰ μὲν ἔπη ταῦτα τῇ ἐμῇ σοφίᾳ ὥσπερ
σφραγῖδι κατασημανθέντα, εὔγνωστά τε καὶ διάδη-
λα ἔσται πᾶσι. καλῶν δὲ καὶ ἀγαθῶν ἐν τοῖς πρώτοις
ὑπαρχόντων, οὐδεὶς, ὡς οἶμαι, προτιμήσει τούτων, ἀλ-
λα κακίαν τινά.

22. Θεύγνιδος.) ἰωνικῇ κράσει, ἀντὶ τοῦ Θεόγνιδος. οὕ-
τω καὶ Θεύκριτος, ὁ Θεόκριτος καὶ Θευδόσιος, Θεοδό-
σιος. ἀφορμῆς δὲ λαβόμενος, τὸ, τὸ ὄνομα αὐτοῦ ὁ ποιητὴς
ἐξέφερσεν ἐνταῦθα, καὶ ἐδυσχέραινε πρὸς τοὺς πολί-
τας, ἧττον φιλοφρόνως πρὸς αὐτὸν ἔχοντας. ἀνέπλεκε δὲ
καὶ γνώμην παροιμιώδη, ὅτι οὐδεὶς ἅπασιν ἀρέσκει. οὐ
γὰρ

γὰρ μὴ δύναται ὁ ζεὺς, σχολῇ γ' ἄν οἴεσθ' εἴη τῶν ἀνθρώπων τίς. ἀνέχων δὲ, τουτέστιν αἰθρίαν ποιησάμενος, ἀνασκεδασθέντων τῶν ὑετωδῶν νεφελῶν.

23. Σοὶ δ' ἐγὼ εὖ.) αὗται ὑποθῆκαι εἰσὶ, καὶ παραινέσεις ἀγαθαὶ πρὸς τὸν Κύρνον. δόξαν δὲ περιτίθησιν αὐταῖς, φάσκων μεμαθηκέναι ταῦτα παρὰ τῶν ἀγαθῶν παιδευόμενος. καί ἐστι πρώτη μὲν τῶν παραινέσεων, μὴ κτᾶσθαι πλοῦτον ἀδίκως. δευτέρα δὲ, φεύγειν τὴν τῶν κακῶν συνήθειαν, καὶ διάγειν μετὰ τῶν χρηστῶν· ἔργυμασι δὲ, τοῖς ἔργοις.

35. Ἐσθλῶν μὲν γάρ.) γνώμη ἣν καὶ σωκράτης ἐκέχρητο, διδάσκων, ὅτι ἡ ὁμιλία τῶν ἀγαθῶν ἄσκησίς ἐστι τῆς ἀρετῆς. ἡ δὲ τῶν κακῶν, κατάλυσις. παρὰ ξενοφῶντι, ἀπομνημονευμάτων (2) πρώτῳ. ἔκκειται δ' οἱ στίχοι, καὶ ἐν φιλτῷ ἰ. τῶν νικομαχείων ἠθικῶν.

39. Κύρνε κύει.) προρρητικαί ταῦτά ἐστι τῶν κακῶν, οἷς ἐμπεσεῖν κίνδυνος τὴν πόλιν, διὰ τὰς τῶν προεστώτων ὕβρεις καὶ βίαν. ἀποδέχεται δὲ τὸ ἐκφῦναι ἐπὶ μοναρχίαν τὴν διαφθορὰν τῆς πολιτείας, ὡς ὂν ἔσχατον τοῦτο τῶν κακῶν. τῆς διαφθορᾶς δὲ αἰτίας δύο καταλέγει, αἵπερ δὴ μόναι καὶ πρῶται εἰσιν ἁπασῶν τῶν πολιτικῶν δυσχερειῶν τε καὶ ἀτυχιῶν, φιλοχρηματίας καὶ φιλοτιμίας. ἀντὶ δὲ τοῦ, τοῖσι κακοῖσι ἕαδε, ἄλλοθι παραδέδεται κακοῖσιν ἅδοι.

53. Κύρνε πόλις.) ἐνδείκνυσιν ἐνταῦθα, ὅτι μεταβολαὶ ἐπὶ τοῦ ἀνθρωπίνου βίου καὶ ἀγανακτεῖ, διότι γάρ.) αὗται

ται ἐπὶ τὸ χεῖρον μάλιστα, καὶ τἀγαθὰ ὡς τάχιστα παραλλάττει. Φησὶ δὲ, ὅτι πάλαι ἡ μεγαρὶς κατῳκεῖτο μὲν, ὑπ' ἀγροίκων δὲ τινῶν καὶ πλανητῶν ἀνθρώπων, οὐδέπω εἰς κοινὸν τόπον νομίμως καὶ ἐνδίκως συναγειρομένων, καὶ μήτε κοσμία ἀναβολῇ, μήτε τετευγμένῃ διαίτῃ χρωμένων. τοῦτο γὰρ βούλεται τὸ αἰγῶν δέρμασιν ἀμφιέννυσθαι, καὶ ἔξω τῶν οἰκημάτων νέμεσθαι δίκην ἐλάφων. ἀπεχώρησε δὲ ἐν τῇ παραινέσει τοῦ προσφωνεῖν τῷ Κύρνῳ, ἐπὶ τὴν προσαγόρευσιν τοῦ Πολυπαίδου. σημειωτέον, ὅτι τοὺς ἐσθλοὺς ὡς ἐπιτοπλεῖστον, καθάπερ οἱ ἄλλοι τοὺς ἀγαθοὺς, λέγει ὁ ποιητὴς, τοὺς δυνάμει τε καὶ πλούτῳ περιβλέπτους· καὶ ἐπ' ἀνδρίᾳ μάλιστα ἔπαινον καὶ τιμὴν ἐσχηκότας· ὥσπερ δειλοὺς καὶ κακοὺς, τοὺς ταπεινοὺς καὶ ἀκλήμονας, καὶ ἀτίμους, ἐν οἷς καὶ πλεῖστον τὸ πονηρὸν ἔνεστι.

59. Ἀλλήλους δ' ἀπατ.) δύστοι εἰσὶν ἐς ἀλλήλους, καὶ ἐπίβουλευτικοὶ, καὶ ἐπιχαιρέκακοι, οὐκ ἐπιστάμενοι διορίσαι τὰ ὄντως ἀγαθὰ καὶ κακά.

61. Μηδένα.) ὑποθήκη εὐλαβείας, ἥν φησί που ἡ (a) τραγῳδία χρησιμωτάτην εἶναι θεῶν, ἐκπέφρασται δέ πως κακοηθέστερον· δοκεῖ γὰρ παραγγέλλειν, ὅτι χρὴ τὴν ψευδολογίαν ἀσκεῖν. ἀλλ' οὐκ ἔχει οὕτως, μᾶλλον δὲ παραινεῖ φυλάττεσθαι τοὺς ἀπίστους καὶ δολεροὺς τῶν πολιτῶν, κατὰ τὸ ἐπιχάρμειον, (b) Νῆφε καὶ μέμνασ' ἀπιστεῖν, ἄρθρα ταῦτα τῶν φρενῶν. τὸ, δὲ ἐκ θυμοῦ, τουτέστιν ἀπὸ ψυχῆς, ἤγουν πεποιθὼς τῇ φιλίᾳ αὐτοῦ. ὡς καὶ (c) Ιλιάδ. ι.

 ὡς καὶ

ὡς καὶ ἐγὼ τ̃ ἐκ θυμοῦ φίλτερον. τὸ δὲ ἀπὸ γλώσσης, τουτέστι, (d) τῇ δὲ προσηγορίᾳ, καὶ λόγων σχήματι. αἰζυρὸς δὲ λέγει, τὸν μοχθηρούς.

66. Πίσει ἰτ' ὤλ.) κατὰ τό, (a)

θνήσκει δὲ πίστις, βλαστάνει δ' ἀπιστία.

68. Μηκέτι σωζόμ.) ἤγουν, οἷς οὐκέτι μέλει τι σωτηρίας πέρι. τουτέστι, οἷς ἀπώλειαν προνωπεῖς.

69. Μήποτε Κύρνε.) ἐπὶ τὰ αὐτὰ ἀνοίσκεον τάδε, ἃ προείρηται περὶ ἀληθείας καὶ φυλακῆς τοῦ ὁμιλῆσαι τοῖς κακοῖς.

73. Πρῆξιν μηδὲ φιλ.) παραίνεσις κατὰ πολυφιλίας, καὶ ὅτι χρῆμα σπάνιον ὁ ἀληθὴς φίλος· καὶ ὅτι τὰ ἀπόκρυφα ὀλίγοις δεῖ ἀνακοινώσασθαι. καθάπερ καὶ τὸ παρ' ἡμῖν τοῖς τούτοσι αἴνιγμα ζητεῖ, (a) τί ἐστιν ὃ ἕνα μὲν ἄγχει, δυσὶ δὲ ἁρμόζει, καὶ τρισὶ ἐντεῦθεν χαῦνόν τε καὶ εὐρύχωρον γίνεται; ἔστι γὰρ ἡ περὶ μεγάλων συμβουλή, καὶ τὸ ἀπόρρητον. περὶ δὲ τοῦ, ὀλίγους εἶναι φίλους ἀναγκαίας τύχης καταλαβούσης ἡμᾶς, παρ' ἡμῖν μετρίως ἐγνωμολόγηται, καὶ τοῦτο καθ' ὑπερβολήν, ὅτι (b) ἐπὶ δυσχερῶν πραγμάτων, καὶ ἐν τ̃ συμφοραῖς, εἴκοσί που τ̃ φίλων ἕλκουσι μόλις δραχμὴν μίαν. σημαίνει δὲ γοῦν, τό, τε ἀφανίζεσθαι τὸ φιλικόν, καὶ μὴ συμπαραστατεῖν τὸν πρότερον συνήθεις, καὶ ἑταίρους εἶναι δοκεῖν βουλομένους.

77. Πιστὸς ἀνήρ.) ἐπεξήγησις τ̃ προειρημένων. διελέχθη δὲ καὶ ὁ πλάτων περὶ τῶνδε, ἐν τῷ περὶ νόμων (a) πρώτῳ.

Τοὺς

83. πῶς δ' οὐχ εὑρήσεις.) ὁ νοῦς· ὀλίγοι μὲν εἰσιν οἱ πιστοὶ ἐν τοῖς δεινοῖς, οἱ δὲ αἰδήμονες, καὶ τὰ ὄμματα ἀποστρεφόμενοι, καὶ τὴν γλῶτταν ἀποκλείοντες τοῦ μὴ ἐποφθαλμιᾶσαι τοῖς ἀλλοτρίοις ἀγαθοῖς, μηδὲ ἐνέδραν τιθέναι αὐτοῖς λογοποιοῦντας καὶ συκοφαντοῦντας, ἅπαντες ἂν οὗτοι ἑνὸς πλοίου φόρτος γένοιντο. ἡ δὲ σύνταξις, οἷς ἔπεστιν αἰδὼς ἐπί τε γλώσσῃ καὶ ὀφθαλμοῖς, καὶ οὓς κέρδος οὐκ ἂν ἄγοι ἐπὶ χρῆμα αἰσχρόν.

87. μή μ' ἔπεισιν μῶ.) τὴν ἁπλότητα, καὶ τὸ καθαρὸν τοῦ νοῦ ἐπαινῶν ἐνταῦθα, ψέγει τὴν ὑπόκρισιν, καὶ τὸ ὕπουλον τῶν φίλων. περὶ πλείστου δὲ καὶ ἐν ἰσαδέλφῳ τιμῇ ποιεῖται τοὺς, τῶν φίλων πλημμελήματα εὐκόλως φέροντας.

101. μηδεὶς ἀνθρώπων.) πρὸς ἐκεῖνα ἃ καὶ πρότερον παρῄνεσε, φεύγειν τὴν τῶν κακῶν ὁμιλίαν· καὶ ὅτι τοῖς ἀγαθοῖς χρὴ χαρίζεσθαι μᾶλλον, ἢ τοῖς κακοῖς· καὶ ὅτι τῶν ἡδυπαθειῶν κοινωνοὺς εὑρεῖν ῥᾴδιον, τῶν δὲ σπουδαίων πραγμάτων οὐκέτι. ἐκεῖ γὰρ ἡδονὴ, ἐνταῦθα δὲ πόνος πρέπει.

106. ἴσον καὶ σπείρειν.) παροιμιώδης ἡ παραβολὴ, περὶ τῆς ἀνωφελείας καὶ τῆς ματαιοπονίας.

109. ἢν δ' ἓν ἁμάρτῃς.) κατὰ τὴν (a) δημοσθένους γνώμην, ὅτι πρὸς τὰ τελευταῖον ἐκβάν ἕκαστον τῶν προϋπαρξάντων, ὡς τὰ πολλὰ κρίνεται.

111. οἱ δ' ἀγαθοί.) τὸ μέγιστόν ἐστι τοῖς ἀγαθοῖς, φησιν, ὅπερ χαίρουσι καρπωσάμενοι, τὸ εὖ παθεῖν παρὰ φίλων

λων, καὶ μεταλαβεῖν τῆς εὐνοίας. διότι μνήμην ἔχουσι, καὶ χάριν ἀποτίνουσι τῶν εὐεργεσιῶν.

115. Πολλοί τοι πο.) τοῦ διστίχου τὸ ἑξάμετρον καὶ ἐν τοῖς (1) Φωκυλιδείοις ἔκκειται. ἐγνωμολογήθη δὲ ταῦτα, κατὰ τῶν κολάκων καὶ παρασίτων.

117. Κιβδήλου δ' ἀνδρὸς.) πρὸς τὰ περὶ εὐλαβείας εἰρημένα. λέγει δὲ νῦν, ὅτι δυσχερὲς πρᾶγμα τὸ φυλάττεσθαι, διὰ τὸ ἀφανὲς καὶ κρυπτὸν τῆς διανοίας καὶ τοῦ ἤθους. διόπερ ἀξιοῖ μὴ προχείρους εἶναι εἰς τὸ πιστεύειν, ἀλλὰ τῇ πείρᾳ προγυμνασθέντας οὕτω δὴ πεποιθέναι ἐπὶ τοῖς φίλοις εἶναι βουλομένοις. ὁ δὲ νοῦς· ὦ Κύρνε, οὐδὲν χαλεπώτερον εἰς τὸ φωρᾶσαι, εἴπερ ἀνὴρ κίβδηλος, τουτέστιν, ἀγνώμων καὶ κακόφρων, μεταφορικῶς, ἀπὸ τῶν νομισμάτων· οὐδὲ περὶ πλείονός ἐστιν οὐδὲν, ἢ εὐλαβεῖσθαι καὶ φροντίζειν τοῦ προὔργου.

119. Χρυσοῦ κιβ.) παραβολὴ ἀντιθετική, οὔτε ζημιωθῆναι τῇ κιβδηλότητι τῶν νομισμάτων μεγάλην τὴν βλάβην φέρειν, οὔτ' ἐκεῖ δυσέλεγκτον εἶναι τὸ κίβδηλον, τὸ δὲ ἀπατηλὸν καὶ δόλιον τῶν φρενῶν, οὔτ' ἀκατάληπτον καὶ δεινότατον εἶναι. ἄνσχετος δὲ ἄτη, ἡ ἀνάσχετος, ἤγουν ἀνεκτή· ὁ δὲ ψεδνὸς, ψεφηνός τις ἂν εἴη, κατὰ (2) Πίνδαρον, καὶ ἀγλμινής, καὶ σκοτεινός.

125. οὐ γὰρ ἂν εἰδ.) ἀπολογία, ὅτι χαλεπὸν ἄνευ πείρας εἰδέναι, πῶς γνώμης ἔχει τις.

127. ὥσπερ ποτ' ἐς ὥριον) ἀσαφὲς τὸ χωρίον, καὶ διαφόρως ἔκκειται ἐν ταῖς ἀντιγράφοις. εἴη δ' ἂν τοιοῦτο.

τι οὐκ

τι· οὐκ ἂν εἰκασίαν δύναιο ποιεῖσθαι, τεκμηράμενος περὶ τῆς ἀλλοτρίας γνώμης, οἷον καθ᾽ ὥραν, ἤγουν καιρὸν προσελθὼν, τουτέστιν, οὔποτ᾽ ἂν εὐκαίρως διακρίνοις ἀπὸ τῆς προσόψεως τὴν γνώμην. εἰ δ᾽ εἴη, ὥσπερ περὶ τὸ ὤνιον, οὐδ᾽ αὐτὴ ἡ παραβολὴ ἄχαρις. τὰ γὰρ ὤνια τῇ αἰσθήσει κρίνεται κατὰ τὸ φαινόμενον, ἡ δὲ γνώμη κρύπτεται ἔνδον, καὶ οὐ πρόκειται φανερῶς, ἀλλὰ σημειωθήτω τὸ χωρίον.

129. Μηδ᾽ ἀρετὴν) μετριότητος παράγγελμα τοῦτο. τὸ γὰρ εὐτυχεῖν οὐκ ἐφ᾽ ἡμῖν. σωφρονέστεροι ἄρα οἱ ἄνθρωποι, καὶ διδακτέοι, ὅτι εὔχεσθαι κατὰ τὸν (2) σωκράτη δεῖ παρὰ τοῦ θεοῦ τἀγαθὰ, οὐ πλοῦτον ἢ δύναμιν, τὰ καὶ αἴτια τῶν κακῶν, εἰ τύχοι, γενησόμενα. ἀρετὴ δ᾽ ἐνταῦθα οὐ σημαίνει τὰ ἐπαινετὰ, καὶ τὴν δικαιοσύνην, καὶ τὸ κόσμιον, καὶ τὴν τοῦ ἤθους καταῤῥύθμησιν. ταῦτα γὰρ οὐκ εὔχονται οἱ ἄνθρωποι διδόναι τὸν θεὸν, παραγινόμενα δή γ᾽ ἐκ προαιρέσεως καὶ καθ᾽ ἕξιν· ἀλλὰ σημαίνει τὸ εὔσημον καὶ ἀνδρεῖον, καὶ μεγαλοπρεπὲς, καὶ λαμπρὸν, καὶ ἀρχικὸν ἐν τοῖς πόλεσι· ὡς τὸ, ἀρετὴν γάμου ἐκ διὸς αἰτῶ.

131. Οὐδὲν ἐν ἀνθρ.) νουθέτημα περὶ τῆς εὐγενείας, ὅτι αὕτη βεβαίαν ἀρχὴν ἔχει, τὴν τῶν γονέων δικαιοσύνην.

ὅταν γὰρ κρηπὶς μὴ καταβληθῇ γένους
ὀρθῶς, ἀνάγκη δυστυχεῖν τοὺς ἐκγόνους,

κατὰ τὸν τοῦ (2) Εὐριπίδου Ἡρακλέα. ἐν ἄλλοις τὸ πεντάμετρον οὕτω κεῖται· ἔπλεθ᾽ ὅσοις ὁσίης Κύρνε μέμηλε δίκης· ὃ καὶ βέλτιον.

133. οὐδεὶς Κύρν' ἄτης.) σωφρονίζειν πειρᾶται κἀνταῦθα τοὺς ἀνθρώπους, καὶ διδάσκειν ὅτι τὸ τέλος τῶν ἀνθρωπίνων διανοήσεων τε καὶ πράξεων, ἀφανὲς ποῖ ἐκβήσεται. ὁμοίως καὶ ὁ πρίαμος (a) φησι περὶ τὴν ἑλένην·

οὔτι μοι αἰτίη ἐσσὶ, θεοὶ δέ μοι αἴτιοί εἰσι.

ὁ γὰρ θεὸς τιμωρούμενος τὰ τῶν ἀνθρώπων ἁμαρτήματα, παντοίας συμφορὰς ἐπιπέμπει αὐτοῖς· οὐκ αὐτὸς τῶν ἁμαρτημάτων, ἀλλὰ τῆς ἐκδικήσεως αἴτιος ὤν. ὡσαύτως καὶ τὰ κατορθώματα θείας μᾶλλόν εἰσιν ἀγαθότητος δῶρα, ἢ ἀνθρωπίνης ὀξυνοίας καὶ δεξιότητος ἔργα. διελέχθη περὶ τούτων καὶ ὁ πλάτων ἐν τῇ δευτέρᾳ τῶν (b) πολιτειῶν, ἔστι μέν τοι ἐκεῖνα χρεῖαν πως ἔχοντα ἀκριβεστέρας ἐπιθεωρήσεως καὶ διασκέψεως. καταστέλλειν δ' ἅμα πειρᾶται ὁ ποιητὴς, τὴν ἀνθρωπίνην διάνοιαν, τοῦ μὴ ὑψηλοφρονεῖν καὶ ἐπαίρεσθαί ποτε, ἐνθυμηθεῖσαν ὅτι ἄνθρωπος ἐστὶ ἀστάθμητον καὶ ἀβέβαιον φύσει, ἀσθενής τε καὶ ἀμηχανίαις πάντοθεν περιβεβλημένος, καὶ περιεληλαθεὶς, ὥστε συνέχεσθαι καθάπερ κλείθροις, περιγραφῇ τινι τῶν ἀπορειῶν. τοῦτο γὰρ δύναται τὸ, ἄχρι πείρατα τῆς ἀμηχανίας, τουτέστιν, ἀμήχανόν ἐστι τυχεῖν καὶ διαπράττεσθαι τοὺς ἀνθρώπους, ἅπερ ἐθέλουσι.

143. οὐδεὶς πω.) ξύμμικτα ἐστὶ παραγγέλματα ἐν τοῖς ἐκλεχθεῖσιν ἑξῆς ἑκκαίδεκα στίχοις, περί τε τῆς ἐλεημοσύνης εἰς τοὺς ξένους καὶ ἱκέτας. καί φησιν (a) ἡσίοδος, ὅτι ἴσην τοῖς ἄλλοις μεγίστοις ἁμαρτήμασιν ἐπιφέρουσι τὴν ποινὴν οἱ θεοὶ ἐκείνοις.

ἰσθ'

——θῶ' ἱκέτίω, ὅσπερ ξεῖνοι κακὸν ἔρξῃ.

καὶ περὶ ἀσεβείας, κατά τε τῆς αἰσχροκερδείας καὶ ὕβρεως, καὶ αὖθις ὑπὲρ τῆς μετριοφροσύνης.

145. Βέλτιον ἢ.) μᾶλλον αἱροῦ μετ' εὐσεβείας πένης εἶναι, ἢ πλούσιος μεθ' ἀδικίας. καὶ (a) ἰσοκράτης, μᾶλλον ἀποδέχου πενίαν δικαίαν, ἢ πλοῦτον ἄδικον. πάσασθαι ἐστὶ, τὸ κτήσασθαι. ὅθεν καὶ (b) πολυπάμων, ὁ πολυκλήμων. ὅπου δέ, φησίν, ἡ δικαιοσύνη πάρεστιν, ἐκεῖθεν οὐδεμία τῶν ἀρετῶν ἄπεστι. κατὰ ταῦτα καὶ ὁ πλάτων συνελογίσατο ἐν τῷ (c) δευτέρῳ περὶ νόμων, ὅτι οὐδὲν ἀγαθὸν ἄνευ δικαιοσύνης καὶ ἀρετῆς ἁπάσης. τὸ δ' ἔπος τοῦτο, ἐν δὲ δικαιοσύνῃ, οὕτω φησὶ λέγει ἀριστοτέλης τῶν παροιμιαζομένων ἐν ε. νικομαχείων.

151. Ὕβριν Κύρνε.) τὴν ὕβριν καὶ βίαν τοῖς κακοῖς εἶναί φησιν, αἰτίαν τοῦ ῥιζόθεν ἐκκοφθῆναι αὐτούς. ὧν γὰρ μέλλει οὐδεμίαν χώραν θέμεναι, ἤγουν θεῖναι, τουτέστιν, οὓς μέλλει παντάπασιν ἀφανίσαι ὁ θεός, ἐκείνους περιορᾶται ὑβρίζοντάς τε καὶ βιαζομένους. σημειωτέον δὲ (a) κἂν ταῦτα τὴν φράσιν. οὐ γὰρ ὁ θεὸς ἐμποιεῖ τοῖς ἀπολλυμένοις τοῦτο τὸ κακὸν, ἀλλὰ διὰ τοῦτο τὴν ἐκδίκησιν παρασκευάζει γίνεσθαι, συγχωρῶν τοὺς ἀπωσθέντας τὴν σωτηρίαν, ἐξολισθεῖν ἐπὶ τὰς τοιαύτας πλημμελείας, ἐξ ὧν τάχιστα ἂν τὸν ὀφειλόμενον μισθὸν λήψονται.

153. τίκτει τοι κόρος.) κορεσθέντες φησὶν οἱ ἄνθρωποι, καὶ ἐμπλησθέντες τῶν τυχηρῶν ἀγαθῶν, οὕτω δὴ ἐξυβρίζουσι, καὶ σκιρτῶσιν, ὥσπερ τὰ ὑπερχορτασθέντα

ὑποζύγια. ὡσαύτως καὶ παρὰ τούτοισιν ἡμῖν φέρεται γνώμη, ὅτι παρὰ δεῖ ἡμέρας τὰ σκέλη, ἅπερ ὑπενεγκεῖν δύναιτ᾽ ἂν τὴν ἐφημερίαν τοῦ βίου. πεποίηται δὲ παρὰ τὴν τοῦ (a) ἀριστοτέλους ἐν ε. πολιτ. ὅπου φησὶν, ὅτι φέρειν δεῖ ἑαυτὸν ἀνδρὸς εὐτυχίαν. εἴρηται δὲ τοῦτο πρὸς θεόγνιδος ἐναντίον πῶς τῷ χρησμῷ τῷ παρ᾽ (b) ἡροδότῳ, οὗ τὸ ἀκροτελεύτιον λέγει εἶναι κόρον ὕβριος υἱὸν, ἣν εἶπεν ὁ θέογνις, ὅτι θυγάτηρ ἐστὶ τοῦ κόρου. τίκτει δὲ καὶ ὕβρις κόρον, τουτέστι, κορέννυται πάσῃ ἀδικίᾳ, καὶ τότε δὴ καὶ σβέννυται, ἤγουν θεόθεν παύεται, λυμαινομένη τοῖς ταλαιπώροις τῶν ἀνθρώπων. εἰ μὴ γὰρ πλέον ἄρα, τίκτει τοι κόρον ὕβρις, ἤγουν τῇ παρ᾽ ἀξίαν εὐτυχούντων ὕβρις, λήγει ποτὲ ἐμπιπλαμένη τῆς παρανομίας. ἀλλ᾽ οὐδὲν δεῖ ζητῆσαι πῶς μετεγράψατό τις τὸ ἐλεγεῖον, ὅτι καὶ ὁ Σόλων ὁμοίως. ὁ γὰρ Λαέρτιος ἐν τοῖς ἀποφθέγμασιν αὐτοῦ ἐξέθηκε καὶ τοῦτο, (c) τὸν μὲν κόρον ὑπὸ τοῦ πλούτου γεννᾶσθαι, τὴν δ᾽ ὕβριν ὑπὸ τοῦ κόρου. καὶ ὁ κλήμης ἐν ς᾽. (d) τῶν στρωματέων λέγει, Σόλωνος ποιήσαντος, τίκτει γὰρ κόρος ὕβριν, ὅταν πολὺς ὄλβος ἕπηται· ἄντικρυς ὁ Θέογνις γράφει· τίκτει τοι κόρος ὕβριν ὅταν κακῷ ὄλβος ἕπηται.

155. Μήποτε τὴν πεν.) κατὰ τὸ τοῦ (a) ἡσιόδου,

μηδέποτ᾽ οὐλομένην πενίην θυμοφθόρον ἀνδρὶ
τέτλαθ᾽ ὀνειδίζειν μακάρων δόσιν αἰὲν ἐόντων.

τὸ δὲ Διὸς τάλαντον, τὴν ἀνθρωπίνων πραγμάτων μεταβολὴν, καὶ τὰς πεπρωμένας μοίρας σημαίνει, τοιαύτη δὲ αὐτὸ καὶ ὁ παρ᾽ ὁμήρῳ ζεύς, (b) ιλ. θ᾽. καὶ (c) ιλ. χ᾽. γρά-

φεται

[illegible]φεται ἐν ἐνίοις ὀ χολωθεὶς, ἀλλὰ χαλεφθεὶς. τὸ δὲ σημειωκόμενόν ἐστι τὸ αὐτό. γράφεται δὲ καὶ ἐν τῷ πενταμέτρῳ, μάλα χρημοσιώην, τουτέστι τῶν χρημάτων ἔνδειαν. καὶ δοκεῖ εἶναι ἀληθές. καὶ ἐν ἄλλοις· Κύρνε κακίω πρόφερε. καὶ μετὰ ταῦτα, ἄλλοτε ἄλλως.

159. Μήποτε Κύρν.) παραίνεσις, ὅτι δεῖ μετριοφρονεῖν. καὶ μὴ ἐπαίρεσθαι, ὅταν ἡ τύχη εὖ παράσχῃ. κατὰ τόδε. (a) μή τι μέγ' εἴπῃς, πρὶν τελευτήσαντ' ἴδῃς.

καὶ τὸ ἐξ (b) ἡρακλέους μαινομένου·

ἔχε τὸ στόμα, μὴ μέγα λέγων, μεῖζον πάθῃς.

ὅτι δ' (c) ἄδηλον τὸ μέλλον, πολλοὶ ὑπέμνησαν γνωμολογήσαντες. ὡσαύτως δέ. καὶ ὅτι οὐδὲν βέβαιον ἐν ἀνθρώποις, ὡς Εὐριπίδης (d) ἱκέτισιν, ὁ θεὸς πάντ' ἀναστρέφει πάλιν. (e) καὶ, ἡ ἐστὶ δ' οὐδὲν φερέ βροτοῖσιν, εἰ μὴ τὸν θεὸν χρήζοντ' ἔχῃ. ἐκ (f) ἐφήμεροι τύχαι, κατὰ τὸν αὐτόν. καὶ (g) ὁ δ' ὄλβος οὐ βέβαιος, ἀλλ' ἐφήμερος· ἐν ᾧ (h) δημήτριος ὁ Φαληρεὺς, βέλτιον ἂν εἶναι, ἔφη, μὴ ἡμέραν, ἀλλὰ στιγμὴν εἰπεῖν τοῦ χρόνου, καὶ (i) ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ. καὶ (k) ἀπελλῆς ἐρωτηθεὶς, διὰ τί τὴν τύχην καθημένην ἔγραψεν; ἀπεκρίνατο, οὐ γὰρ ἕστηκε. καὶ ἡρόδοτός φησι (l) κλεοῖ, ὅτι πᾶν ἐστιν ἄνθρωπος συμφορή. Εὐριπ. (m) ῥήσω, ὁρᾷ τὸ μέλλον, πόλλ' ἀναστρέφει θεός.

167. ὄλβιος οὐδεὶς.) κατὰ τὴν τοῦ σόλωνος γνώμην παρ' (a) ἡροδότῳ, ὅτι εὐτυχεῖς μέν τινες εὑρεθεῖεν ἄν, ὀλβίος δ' οὐδεὶς τῶν ζώντων ἔτι, δικαίως λέγοιτ' ἄν. ἐστὶ δὲ κατασκευαστικὰ τάδε πάντα, τοῦ μηδένα κύριον εἶναι τῶν συμφορῶν, μήτε χωρὶς θείας εὐνοίας οἷόν τε εὐδαίμονα

χρέαζ οὐδένα, καὶ ὅτι ἁπάντων πραγμάτων τὸ κῦρος ἀναρτητέον εἰς τὸν θεόν. μεταπέφρασαι δέ πως ταῦτα ἐν ἡρακλείδαις (b) εὐριπίδου, οὐ τινά φημι θεῶν ἄτερ ὄλβιον, οὐ βαρύποτμον ἄνδρα γίνεσθαι. οὐδὲ τὸν αὐτὸν ἀεὶ βεβάναι δόμον εὐτυχία, παρὰ δ' ἄλλον γ' ἄλλα μοῖρα διώκει.

173. Ἄνδρ' ἀγαθὸν) ἡ φρόνησις, τὰ δοκοῦντά τε τοῖς πολλοῖς, καὶ ἐπιπολάζοντα ἐν τῷ βίῳ ἐπισκοποῦσα διασαφεῖν εἴωθε, πρὸς τὸ συμφέρον τῶν ἑκάστοτε δεομένων τῆς ἐπιστήμης τῶν καλῶν, καὶ μὴ τοιούτων. ἡ γοῦν πενία δοκεῖ ἐμποδὼν πολλάκις ἵστασθαι ταῖς τῆς ἀρετῆς πράξεσι, καὶ ταπεινοὺς ποιεῖν τοὺς πιεζομένους ὑπ' αὐτῆς, οὐχ ὅτι καὶ κακοὺς νομιστέον τοὺς πένητας, ἢ ἐπονείδιστον τὴν πενίαν αὐτὴν κατ' αὐτήν, ἀλλ' ὅτι πολλῆς ἀφορμῆς δεόμεναι αἱ τῆς ἀρετῆς πράξεις, κώλυμα τοῦτο ἔχουσι τοῦ ἀπεργάζεσθαι λαμπρόν τι καὶ περιφανές, παρά τε τοῖς ἰδίοις καὶ τοῖς ἔξω. φησὶ γοῦν, ὅτι πενία φορτίον ἐστὶ βαρύτερον τῷ τὴν δημώδη ἀρετὴν ἀσκοῦντι, ἤπερ γῆρας καὶ νόσος, ἀμφότερα ποιοῦντ' ἀδυνάτους τοὺς ἐνεχομένους αὐτοῖς. ἠπίαλος δὲ, εἶδος πυρετοῦ φρικώδους καὶ ὀδυνηροῦ, ὃν ῥιγοπύρετον καλοῦσι, καὶ προστίθησιν, ὅτι δεῖ αὐτὴν φεύγειν πάσῃ σπουδῇ, καὶ διὰ κινδύνων μεγίστων ἰόντας, ὥστε καὶ τὸν θάνατον προκρῖναι τοῦ πενιχροῦ βίου· καὶ χρῆναι, κατὰ τὴν (a) τραγῳδίαν, καλῶς ζῆν, ἢ καλῶς τεθνηκέναι· οὕτω καὶ (b) ἀφθόνιος δὲ ἐξηγήσατο τὴν γνώμην. ἄλλοι δὲ τὸ

ῥιπτεῖν

ῥιπτεῖν ἡρμηνεύουσι τὸ πείρειν, βουλόμενοι τὸν νοῦν εἶναι, ὅτι πᾶσιν ἐγχειρητέον, καὶ τοῖς δοκοῦσιν ἀδυνάτοις τοῦ φυγεῖν ἕνεκα τὴν πενίαν. ἔστι δὲ περίεργος ἡ ἐνθύμησις. δοκεῖ δὲ καὶ ὁ (c) Θουκυδίδης ἐν τῷ ἐπιταφίῳ λανθανόντως μεμνῆσθαι τῆς γνώμης, καὶ πειραθῆναι διορθώσασθαι τῇ συγκρίσει, ἐν τούτοις· οὐ γὰρ οἱ κακοπραγοῦντες δικαιότερον ἀφειδοῖεν ἂν τοῦ βίου, οἷς ἐλπὶς οὐκ ἔστ' ἀγαθοῦ, ἀλλ' οἷς ἡ ἐναντία μεταβολὴ ἐν τῷ ζῆν ἔτι κινδυνεύεται, καὶ ἐν οἷς μάλιστα μεγάλα τὰ διαφέροντα ἤν τι πταίσωσιν. τὸ δὲ, καὶ γὰρ ἀνὴρ πεν, ἐν ἄλλοις γράφεται, πᾶς γὰρ ἀν. καὶ τὸ, χρὴ γὰρ ὁμῶς ἐπὶ, χρὴ δ' αἰεὶ κατά.

178. Γλῶσσα δ' οἱ.) ἐχλεύασε τοῦτο Βίων Βορυσθενίτης (a) ἀποφθεγξάμενος, ἄτοπον εἶναι τὸ φλυαρῆσαι τοσαῦτα τὸν ποιητὴν, εἴπερ ἐδέδετο ἡ γλῶσσα ὑπὸ πενίας, καὶ καταδολεσχῆσαι τῶν ἄλλων πένητα ὑπάρχοντα, ὡς αὐτὸς ὡμολογήκει. γράφεται δ' ἐν ἐνίοις, πᾶς γὰρ ἀνὴρ πεν.

183. Κριοὺς μὲν.) μέμφεται ἐνταῦθα ὁ ποιητὴς, τοῖς πλούτου καὶ χρημάτων ἕνεκα κηδείαν συνάπτουσι· καὶ αἴτιον τοῦτό φησιν εἶναι τοῦ τοὺς γενναίους ἐκλείπειν ἐν ταῖς πόλεσι. κέχρηται δὲ παραβολῇ ἀντιθετικῇ, λέγων, ὅτι περὶ τῆς τῶν προβάτων καὶ ὑποζυγίων ὀχείας φροντίδα μείζω ποιοῦνται οἱ ἄνθρωποι, ἢ περὶ τῆς παιδοποιΐας. βήσεσθαι δὲ, ἐπιβήσεσθαι· τουτέστι, πᾶς τις ἐθέλει ἐπιβήσεσθαι ἀγαθοὺς τῶν ἀρρένων ταῖς αὐτοῦ θήλεσι· γυναῖκα δὲ ἄγεσθαι κακήν τε αὐτὴν οὖσαν, καὶ ἐκ κα-

κῶν

κῶν γεγονέναι, ὐδεὶς ἀποτρέπεται, εἰ δὴ φέρνην πολλὴν ἅμα λήψεται. γράφεται δὲ ἐν ἐνίοις ἀντὶ τοῦ διδῶ, φέρῃ· καὶ ἀντὶ τοῦ βήσεσθαι, κτήσασθαι. τὸ δὲ μελεδαίνει, φροντίζει. ἰωνικὸν δὲ τὸ ῥῆμα. ὅθεν μελεδωνὸς, ἐπίτροπος, παρ' (a) ἡροδότῳ.

188. Αφνειόν.) συνίζησις. λέγει δὲ τὸν πλούσιον, παρὰ τὸ ἄφενος.

191. οὕτω μὴ θαύμαζε.) πάλιν ἐν τῇ παραινέσει τοὺς δύο ἑταίρους, τόν τε Κύρνον, καὶ τὸν Πολυπαίδη προσεῖπεν. μαυροῦσθαι δὲ, ἀμαυροῦσθαι, ἤγουν ἀϊστοῦσθαι καὶ φθείρεσθαι. ὡς καὶ παρ' (a) ἡσιόδῳ, ῥεῖα τέ μιν μαυροῦσι θεοί. τὸ δὲ, σὺν γὰρ μίσγεται, τμῆσις, ἀντὶ τοῦ συμμίσγεται γάρ.

195. Ανάγκη.) τὴν ἔνδειαν καὶ ἀναγκαίαν τύχην λέγει. ἐντιμᾷ δὲ, ἐπιστέρχει.

196. Χρήματα δ' ᾧ) κατὰ τὸ ἡσιόδειον (a)

χρήματα δ' οὐχ ἁρπακτὰ, θεόσδοτα πολλὸν ἀμείνω.

κατ' αἰσχροκερδείας καὶ ταῦτα παρῄνηται. καὶ διεξηγήσατο ὁ ποιητὴς τὸ λεγόμενον, (b) ὅτι τὸ κακῶς ποριθὲν, καὶ κακῶς διόλλυται. ὁ νοῦς· παραμόνιμόν ἐστιν ἀεὶ τῶν καθαρῶν χρημάτων κτῆμα, τὰ δὲ πορισθέντα ἀδίκως, κἂν μὴ εὐθέως, ἀλλ' ὅμως βλάβην ποτὲ φέρει τῷ κακῶς κεκτημένῳ, ἤτοι αὐτοῦ ἐκτίνοντος, ἢ τῶν παίδων ὑπεχόντων τὴν τιμωρίαν. αἴτιον δὲ τοῦ μὴ αὐτὸν ἐκεῖνον δοῦναι δίκην, ἀνθ' ὧν ἥμαρτεν, ὅτι πρότερον ἢ γνῶναι τοῦτο, ὁ θάνατος αὐτῷ ἐπῆλθεν. εἴρηται δὲ τάδε δηλονότι

παρὰ πλησίως τοῖς ὁμηρικοῖς Ιλιάδ. (c) δ.

εἴπερ γάρ τε καὶ αὐτίκ' ὀλύμπιος οὐκ ἐτέλεσσεν,
ἔκ τε καὶ ὀψὲ τελεῖ, σύν τε μεγάλῳ ἀπέτισαν,
σὺν σφῇσιν κεφαλῇσι γυναιξί τε καὶ τεκέεσσιν.

201. Αὐτίκα μέν τοι.) ὡς ὁ χρησμὸς φησὶ παρ' (a) ἡροδότῳ.

——— τὸ μὲν αὐτίκα κέρδιον οὕτω
ὀργῇ νικῆσαι, καὶ χρήματα ληΐσσασθαι.

203. Οὐ γάρ ἔτ' αὐτοὺς τίνονται.) ταῦτ' ἐστί, φησίν, οἷς ἡ τῶν ἀνθρώπων γνώμη πλανᾶται, ὅτι μὴ ἀεὶ τῶν τιμωριῶν αὐτίκα παρακολουθουσῶν τοῖς ἀδικήμασιν, ἐλπίζουσιν οἱ πονηροί, ἢ λανθάνειν ἃ ποιοῦσι τὸν θεόν, ἢ διαπαντὸς αὐτοὺς ἀτιμωρήτους ἔσεσθαι. γράφεται καὶ τίνυνται.

207. Αὐτὸν δ' οὐ κατέμαρψε.) αὐτός, φησιν, ἐξέφυγε τὴν δίκην, διώκουσαν μὲν, οὐ καταλαμβάνουσαν δὲ, διὰ τὸ προηρπᾶσθαι αὐτὸν ὑπὸ θανάτου.

209. Οὐδείς τοι.) διαβολογία περὶ φυγῆς, καὶ ὅτι ἡ φυγὴ ἄφιλος.

211. Οἶνόν τοι.) μετριοποσίας παραίνεσις.

213. Κύρνε φίλους.) παράγγελμά ἐστι πολυτροπίας, ἀναγκαίου οὔσης διὰ τὴν τῶν πολλῶν πονηρίαν, ἄλλως τε καὶ ὅταν παρεπιδημεῖν τοῖς ἀλλοτρίοις ἀνάγκη τινὰ καταλάβῃ· διὰ τοῦτο καὶ ἐπαινέσας (a) ὅμηρος τὸν σοφώτατον ὀδυσσέα, πολύτροπον ὠνόμασε. τὴν δ' ὀργὴν, νοητέον ὁρμὴν, καὶ προθυμίαν, καὶ τρόπον, ἣν γνωρίζεσθαι, οἷα ἐν ἑκάστῳ τῶν πλησίον ἐστί, καὶ πρὸς ἐκείνην ἐφαρμόσαι-

μόσασθαι αὐτὸν τὸν ἄφρονα παρακελεύεται. τὴν δὲ τοῦ πολύποδος παραβολὴν αὐτὸς ἐξηγήσατο, λέγων, ὅτι ταῖς πέτραις, αἷς ἂν προσελέξατο, καὶ τὴν χροιὰν ὅμοιος ἐγίνετο. παρέθηκε τὸ ἡμιστίχιον, πουλύπου ὀργὴν ἴσχε πολυπλόκου, καὶ ὁμοιογνωμά τινα, (b) ἀθήναιος ἐν τῇ δυοδεκάτῃ. ἐν δὲ πολυπάρχου αἰτίαις φυσικαῖς (c) γράφεται, πουλύποδος νόον ἴσχε πολυχρόου.

218. Κρειττόν τι.) ἡ σοφία, φησὶν, ἡ εὔτροπος καὶ πολύστροφος, πολυωφελής ἐστι. τὸ γὰρ κρειττὸν, τὸ ταχὺ καὶ διανοητικὸν σημαίνει.

219. Μηδὲν ἄγαν γ' ἀχ.) ἐν ταῖς ταραχαῖς ταῖς πολιτικαῖς συμβουλεύει ἡσυχίαν ἔχειν, καὶ μὴ ῥαδίως δυσθυμοῦντα, καὶ φοβούμενον κοινωνὸν γίνεσθαι τῶν θορυβούντων.

221. Ὅστις τοι δοκέει.) κατ' ἐπάρσεως καὶ ὑψηλοφροσύνης ταῦτα ἐξέθηκεν ὁ ποιητής. φησὶ δ' ὅτι καὶ ἄλλος τις δύναιτο πανοῦργος εἶναι, ἢν μὴ προῃρεῖτο χρηστῶς μᾶλλον καὶ εὐνόμως διάγειν. τὸ δ' ἴδμεναι, εἰδέναι. δολοπλοκίαι δὲ, αἱ κακοβουλίαι. καὶ τὸ ἄδον, ἀπὸ τοῦ ἁδεῖν ἀόριστος δεύτερος, ἀφαιρεθείσης τῆς χρονικῆς αὐξήσεως. τὸ δὲ ἁδεῖν, ὅθεν καὶ ὁ αὐθάδης, καὶ ἁνδάνειν, ἀρέσκειν ἐστί. ἐν δέ τισιν οὕτω·

τῷ δὲ δολοπλοκίαι μᾶλλον ἔτ' εἰσὶ φίλαι.

καὶ ἀντὶ τοῦ ἴδμεναι, εὑρησταὶ ἔμμεναι.

227. πλοῦτος δ' οὐδέν.) ὑποθήκη τοῦ μὴ μέγα φρονεῖν ἐπὶ πλούτῳ, διὰ τὸ ἄδηλον, εἴτε εὐτυχήσει τις πλουτῶν, καὶ μὴ

περὶ μὴ στερηθήσεται τῶν χρημάτων. ἐξέθηκε δὲ τὴν ἀρχὴν τῶν ἐλεγείων, ὡς σόλωνος ὄντων, ὁ ἀριστοτέλης ἐν τῷ πρώτῳ βιβλίῳ (a) τῶν πολιτικῶν, σοφιζόμενος καὶ περὶ τούτου. τὸ δὲ πεφασμένον, ὡρισμένον καὶ πρόδηλον. ἔν τισιν, ἀντὶ τοῦ ἀνδράσι κεῖται, γράφεται, ἀνθρώποισι.

230. Χρήματα τοι.) ὑπὸ (2) στοβαίου περὶ δικαιοσύνης ἐκτέθειται τὸ πεντάμετρον οὕτω·

κέρδεά τοι θνητοῖς ὤπασαν ἀθάνατοι.

233. Ακρόπολιν.) ἔλεγξις ἤδε τῆς δημώδους ἀχαριστίας καὶ ἀνοίας, καὶ προτροπὴ τοῦ ἀποστῆναι ἐν καιρῷ τῶν μὴ βουλομένων σώζεσθαι, ἣν μή τις ἅμ' ἐκείνοις ἀπόλλυσθαι ἐθέλῃ. ἡ δὲ μεταφορὰ δήλη· ὀχυρώματα γάρ ἐστι πόλεων, οἱ πύργοι, καὶ αἱ ἄκραι.

236. Λύσιν ὡς.) καὶ οὗτος ὁ στίχος ἐστὶ τῶν ἀδιορθώτων ἐν τοῖς ἀντιγράφοις. μαντευόμενος δ' ἄν τις εἶναι τὸν νοῦν ἴσως ὑπολάβοι τοιόνδε, ὅτι ἡμᾶς οἷον δὴ περὶ σωτηρίας ἡμετέρας ἐσπουδακότας, οὐ προσήκει λύειν καὶ αὐτοὺς τὰ τείχη, ὥσπερ πόλεως ἁλωσομένης, τουτέστιν ἀπιστεύθειν τὴν κοινὴν ἀπώλειαν, ἀλλὰ μᾶλλον προορωμένους τὸ ἐσόμενον φυλάττεσθαι. φέρεται δ' ἔν τισιν, ἀλύειν, καὶ ἕτερ' ἅττα ἄλλως, ἐξ ὧν οὐκ ἀπὸ σκοποῦ γένοιτ' ἂν ἴσως ἡ τοῦ στίχου σύνθεσις ἤδε,

ἀλύειν, πόλιος ὥς ποτ' ἁλωσομένης.

ἢ, Κύρν' ἀλύειν, τὸ γὰρ ἀλύω, συστέλλεται παρ' ὁμήρῳ, (2) σημαίνει δὲ τὸ ἀσατεῖν ταρασσόμενον, ἤτοι χαίροντα. ἢ ἀδη-

ἢ ἀδημονοῦντα. (b) Ιλ. ε. ὣς ἔφαθ', ἡ δ' ἀλύουσ' ἀπεβήσατο. καὶ (c) ὀδυσ. ς. ἢ ἀλύεις ὅτι ἶρον ἐνίκησας. καὶ ὁ κικέρων ἔν τινι (d) πρὸς ἀττικὸν ἐπιστολῇ, ἀλύων ἐν τοῖς συλλόγοις. ἔφη δ' ἄρ' ἐκ τούτων ὁ νοῦς· οὐ χρὴ ἡμᾶς τῆς σωτηρίας στοχαζομένους, νῦν ἀπορεῖν, καὶ ἄττειν δεῦρο κἀκεῖσε, ἀλλὰ περισκοπεῖν ἔξοδον πρὸς σωτηρίαν, ὡς ἁλωσομένης ποτὲ τῆς πόλεως, ἐν ᾗ γε μηδὲν ἔχουσι πλέον οἱ ἀγαθοὶ τῶν κακῶν.

237. Σοὶ μὲν ἐγώ.) περὶ τῶν μουσικῶν ἐγκωμίων εἴρηται ταῦτα. φησὶ δὲ καὶ ὁ πλάτων ἐν τῷ (a) μίνωϊ, ὅτι οἱ ποιηταὶ μέγα δύνανται εἰς δόξαν, ἐφ' ὁπότερ' ἂν ποιῶσιν εἰς τοὺς ἀνθρώπους, καὶ ἀξιοῖ εὐλαβεῖσθαι πάντα ἄνδρα, ὅτῳ μέλει τὸ εὐδόκιμον εἶναι, μηδέποτ' ἀπεχθάνεσθαι ἀνδρὶ ποιητικῷ μηδενί. προσέθηκε δὲ καὶ ἀγανάκλησιν, ὅτι τοῖς αὐτοῦ εὐεργετήμασιν οὐκ ἀπαντᾷ χάρις ὀφειλομένη.

237. Πτέρ' ἔδωκα.) μεταφορὰ κέχρηται τῆς τῶν ὀρνίθων πτήσεως, οἷς πᾶς ὁ ἀὴρ περάσιμος, καὶ ἐν τάχει ἔξεστιν ἀφικέσθαι ὅποι ἂν ἐθέλωσι.

240. Κείμενος ἐν στομ.) ὑπὸ πάντων ἐγκωμιαζόμενος. οὕτω καὶ (a) ξενοφῶν κύρου παιδ. ά. πάντες κῦρον διὰ στόματος εἶχον, καὶ ἐν λόγῳ καὶ ἐν ᾠδαῖς.

242. Καλὰ καὶ λιγέα.) καλῶς καὶ λιγέως ᾄσονται σε ἄνδρες νέοι καὶ ἐραστοὶ μετ' αὐλῶν, ἐν τοῖς συμποσίοις.

245. Απολεῖς κλέος.) κατὰ γὰρ (a) θεοκρίτου ἱέρωνα,
οὐ μοισᾶν ἀγαθὸν κλέος ἔρχεται ἀνθρώποισι.

Φησὶ

Φησὶ γοῦν, ὅτι τὸ Κύρνου ὄνομα περιβόητον ἔσται ἀνὰ πᾶ-
σαν τὴν ἑλλάδα, καὶ τὰς νήσους, καὶ ὅτι ἡ δόξα αὐτοῦ διελεύ-
σεται τὴν ἑλλάδα, καὶ περαιωθήσεται ἐπὶ τὰς νήσους, προ-
πεμφθεῖσα ὑπὸ ποιημάτων καὶ ἀσμάτων, ἃ δῶρά ἐστι
μουσῶν ἐστεφανωμένων ἰοῖς.

253. παρὰ σοῦ ἐπιτυγχάνω.) ἢ ὡς ἐν ἄλλοις, παρὰ σοῦ
οὐ τυγχάνω. ὁ δὲ νοῦς, ἐγὼ χάριν ὀλίγην ἀντ' εὐεργεσιῶν
ἀποφέρω, ἢ, οὐδ' ὀλίγην χάριν ἀποφέρω, ἀλλ' ἔχεις με
διὰ παιδιᾶς, ὥσπερ νήπιον.

255. Κάλλιστον τὸ δικ.) τοῦτο τὸ ἐπίγραμμα ἐν τοῖς ἐπι-
γραφομένοις (a) εὐδημείοις ἠθικοῖς, λέγεται συγγράψαι
τις ἐν δήλῳ, ἐπὶ προπυλαίῳ τοῦ λητώου, καὶ τὸ πεντά-
μετρον οὕτως ἐκτέθειται·

πάντων δ' ἥδιστον, οὗ τις ἐρᾷ τὸ τυχεῖν.

ἐν δὲ τῷ πρώτῳ (b) τῶν νικομαχείων οὕτως·

ἥδιστον δὲ τυχεῖν, οὗ τις ἕκαστος ἐρᾷ.

τῆς μὲν γνώμης οὐδὲν διαλλαττούσης, μόνον δὲ ῥημάτων
τινῶν μετατεθέντων. σοφιστικώτερον δέ πως ἐξήλεγξε
τὸ ῥηθὲν ἀριστοτέλης, λέγων, ὅτι ἡ εὐδαιμονία ἅμα ἐκεῖ-
να πάντα ἐστί. τὸ γὰρ ἐπίγραμμα διασαφεῖ, πῶς διά-
κειται πρὸς ἕκαστον ἐκείνων τῶν τριῶν, αἱ τῶν ἀνθρώπων
ψυχαὶ καὶ κρίσεις. πεπεισμένοι γάρ εἰσιν ἅπαντες, ὅσῳ
περ δικαιότερον ἢ τὸ πρᾶγμα γινόμενον, τόσῳ κάλλιον
φαίνεσθαι αὐτό, καὶ οὐθ' ἕσπερον (c)

ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται ἀστὴρ,

οὔθ' ἑῷον, κατ' αὐτὸν τὸν (d) ἀριστοτέλη, θαυμαστὸν εἶναι οὕτως

ὡς τὴν δικαιοσύνην. τῆς δ' ὑγείας εἰ μὴ μαίνοιτό τις, οὐκ ἀντάλλαγμα ποιοῖτ' ἂν οὐδ' ἅπαντα, δι' ἅπερ οἱ ἄνθρωποι μέγα φρονοῦσιν· ὅτι δὲ ἡδὺ τὸ ἐπιτυχεῖν, οὗπερ ἄν τις ἑκάστοτ' ἐπιθυμητικῶς ἔχοι, τῶν ὁμολογουμένων ἐστὶν, οὕτω δὴ, ὥστε καὶ ἅπερ ἄλλοι τινὲς κακὰ ἡγοῦνται, οἷον ξενιτεύειν ἢ μισθοφορεῖν, ἐκεῖν' ἐπιπρεπές ἐστιν εἶναι τῷ ἐρῶντι τούτων. καὶ ἐπιφέρεται δ' ὅμως οὐδὲν ἧττον τούτοις τὸ τῆς εὐδαιμονίας ἑκάστοτ' ὄνομα. ὁ γὰρ δικαιοσύνην ἀσκῶν, διὰ τὴν προαίρεσιν εὐδαίμων, καὶ ὁμοίως ὁ ὑγιὴς, καὶ ὁ ἐπιτευκτικὸς καὶ εὐτυχὴς, εὐδαίμων διὰ τὴν τῶν δοκούντων ἀγαθῶν περίστασιν, λέγεται. ἀλλ' οὐ γὰρ πρόκειται περὶ τούτων πραγματεύεσθαι, ἐπὶ τὰ λοιπὰ ἐρχώμεθα.

257. Ἵππος ἐγὼ.) ἀλληγορεῖται ἐνταῦθα περὶ τῆς τοῦ φίλου κακίας, δυσανασχετεῖν τέ φησι, καὶ ἐοικέναι ἀφηνιάζοντι τὸν ἐπαχθῆ φίλον.

261. οὔ μοι πίνεται.) ἐρωτικόν τι παρέμβλημα, οὐκ εὐδιανόητον ὄν. λέγει δ' οὖν, ὅτι ὥσπερ εἰς λιμένα τινὰ, οὕτω παρ' αὐτὴν τὴν ἐρωμένην κατέσχεν ἄλλος τις ἐραστὴς ἑαυτοῦ κακίων. αὐτὸς δὲ τῇ ὑδροφορούσῃ παιδίσκῃ συχνῶς ἐντυχὼν, ἐνηγκαλίσατό τε καὶ ἐφίλησεν αὐτήν. ἐκείνη δὲ φέρουσα τὸ ὕδωρ, ἅμα ἔφερε τοῦ ἐραστοῦ τὸν ἀσπασμὸν καὶ περιπλυγμόν.

267. Γνωτή τοι π.) ψόγος πενίας, κατὰ ταῦτα τοῦ Εὐριπίδου ἐκ μηδείας. (a)

πένητα φεύγει πᾶς τις ἐκποδὼν φίλος.

καὶ

καὶ ἐξ ἠλέκτρας, (b)

πένητας οὐδεὶς βούλεται κτᾶσθαι φίλους.

καὶ ἐκ φοινισσῶν, (c)

——— πένης γὰρ οὐδὲν εὐγενὴς ἀνήρ.

φησὶ δὲ, ὅτι ἡ πενία μισητὴ οὖσα, πάντοθι ὅμως παρεῖναι εἴωθεν. ἣν δὲ γράφεται, ἐπίμυκτος, νοητέον τὸ ἐπιμώμητον τῆς πενίας, καὶ ὅτι μυκτηρίζονται ὑπ' ἄλλων οἱ πένητες.

271. Ισως τοι.) τῶν κακῶν συμφορῶν τίθησι καὶ γῆρας καὶ νόσους, ἐξαίρετον δὲ εἶναι λέγει τὸ ἀτιμασθῆναι, καὶ δεινὰ παθεῖν γονέας ὑπὸ τέκνων. καὶ ἐστὶ δὴ τοῦτο πρᾶγμα ἀσεβέστατον μετά γε τὴν πρὸς τὸν θεὸν ἀσέβειαν. σχεδόν τε τὸ ἕτερον ἅμα τῷ ἑτέρῳ τῷ βίῳ ἐπιπολάζον εὑρίσκεται.

279. Εἰκὸς τὸν κα.) ψόγος κακίας, καὶ ὅτι ἅμα τε περὶ τῶν δικαίων οἱ κακοὶ οὐκ ὀρθῶς λογίζονται, καὶ πολλὴ συνέχονται ἀμηχανίᾳ, καὶ τοῖς δυστυχήμασι παραυτίκα ἐμπλέκονται, καίπερ οἰόμενοι εὖ πράξειν, ἅμα τε γάρ, φησίν, πάρεστι τοιούτῳ ἀνελέσθαι τὰ κακά, καὶ ὑπολαμβάνειν ὅτι εὖ τίθησι πάντα.

280. Κατόπιν.) ὄπισθε, καὶ κατὰ νῶτον. τὴν δὲ (a) νέμεσιν τῆς ἐκδικήσεως τινὰ θεὰν εἰδοποιήσαντο οἱ ἕλληνες.

283. Αςῶν μηδενὶ.) περὶ ἀπιςίας παραίνεσιν ἐκτίθησιν, ἵνα εὐλαβής τις εἴη καὶ φυλακτικὸς ἐν ταῖς κοινωνίαις τῶν ἀνθρώπων, κατὰ τό, τε ἐπιχάρμειον, ὃ ἐν τοῖς (a) ἄνω ἀπεμνημονεύσαμεν, καὶ τὸ τοῦ εὐριπίδου ἐξ ἑλένης, (b) Σώ-

φρόνος ἀπιστίας οὐκ ἔστιν οὐδὲν χρησιμώτερον βροτοῖς. καὶ ὁ Δημοσθένης ἐν τῷ κατὰ Φιλίππου (c) δευτέρῳ, ἓν τι κοινὸν ἡ φύσις τῶν εὖ φρονούντων ἐν ἑαυτῇ κέκτηται φυλακτήριον, ὃ πᾶσι μέν ἐστιν ἀγαθὸν καὶ σωτήριον, μάλιστα δὲ τοῖς πλήθεσι πρὸς τοὺς τυράννους. τί οὖν ἐστι τοῦτο; ἀπιστία.

283. Πόδα τὸν δ.) μὴ πεπιστευκὼς εἴης, φησὶ, τῶν ἀστῶν τινὶ, οὐδ' ἐπ' ὀλίγιστον, οἷον γένοιτο ἂν βήματος ἑνὸς πρόοδος.

284. Συνημοσύνη,) συνθήκη, ὡς Ιλ. χ'. (a)

ἕκτορ μή μοι ἄλαστε συνημοσύνας ἀγόρευε.

ἐγγύον δὲ, ἐγγυητήν· καὶ πιστὰ, τὴν πίστιν.

287. Εν γὰρ τῇδε.) κακοψόγῳ πάντας κακῶς ψεγούσῃ, ἢ ὡς ἐν ἄλλοις κακοέργῳ, κακὰ ἐργαζομένῃ.

288. Ως δὲ τὸ σῶσαι.) καὶ οὗτος ὁ στίχος τῶν δυσδιανοήτων καὶ ὑπόπτων. λέγοιτο δ' οὖν ἴσως τόδε, ὅτι οἱ πολλοὶ οἷον οἱ ξυγκλύδων ἀνθρώπων, ἀπορώτεροι καὶ ἀσθενέστεροι πεφύκασι, πρὸς τὸ σῶσαι αὐτούς τε καὶ ἄλλους. ἐξενήνεκται δὲ ἤτοι καθόλου, ἢ ἰδίως περὶ τῆς αὐτοῦ πόλεως.

289. Νῦν δὲ τὰ τ.) σκοτεινὸν καὶ τοῦτο τὸ ἐλεγεῖον. πρὸς δὲ ὅμως τὰ προκείμενα ἡ γνώμη ἀναφέρεται. φησὶ δὲ ἴσως, ὅτι τὰ τῶν ἀγαθῶν ἀνδρῶν κακὰ, αὐτοῖς ποιοῦνται τῶν ἀγαθῶν ἀφορμὴν οἱ πονηροὶ, καὶ εἰσὶν οὗτοι ταῦτα πράττοντες νόμος τοῖς ἐκτραπέλοις. ἤγουν, οἱ ἐκτράπελοι τῶν ἀνθρώπων οὕτω ποιητέον παρ' αὐτῇ νομίζουσιν. ἐκτράπελοι δὲ λέγονται, οἱ ἐκτετραμμένοι, τουτέστιν

τέσιν ὑπερβεβηκότες τὴν τῆς φύσεως συμμετρίαν, ἤτοι κατὰ τὸ ἦθος καὶ τὴν γνώμην, ἢ κατὰ τὸ σῶμα καὶ τὰς ἡλικίας. ὡς οἱ θηλυώδεις καὶ οἱ περατωδῶς ἐπιδιδόντες κατὰ τὴν σωματικὴν αὔξησιν, ὥσπερ ἱστόρηται ὑπὸ ῥωμαίου (2) πλινίου, περὶ σαλαμινίου τινὸς τοῦ εὐθυμένους, ὅτι τριετὴς ὢν καὶ τρίπηχυς ὑπῆρχε, καὶ ἔφηβος, βραδὺς μέν τοι καὶ νωθής. εὐθὺ δὲ πληρωθέντος τοῦ τριετοῦς χρόνου παρηβηκὼς, ἀπώλετο παραλύσει καταληφθείς. ᾐτιολογίσατο δὲ περὶ τούτων ὁ ποιητής, ὅτι τόλμα καὶ βία κατέχονται ἅπαντα, διὰ τὸ, τὴν αἰδῶ ὑπ' ἀναιδείης κατοπαίζεσθαι, κατὰ τὸν ἡσίοδον.

293. Οὐδὲ λέων.) ᾐνίξατο ὁ ποιητὴς τάδε, ἐς τοὺς δυνατοὺς καὶ βιαστὰς, ὅτι εἰκαὶ τοὺς ἀσθενεστέρους ἀεί πως καταμάρπτοντες διασπῶσι, καὶ τὸν ἐκείνων βίον κατεσθίουσιν, ἐμφορούμενοι τῶν κτήσεων, ἔσθ' ὅτε καὶ τὰς ψύχας ἀφελόντες, ἀλλ' ὅμως καιρός ποτ' ἐπέρχεται, καθ' ὃν ἀνασέλλεται τὸ δημοβόρον, καὶ ἡ ἀνθρωποφαγία αὐτῶν, οἷον λεόντων τινῶν ὠρυομένων, καὶ μὴ ἐχόντων κρεωφαγεῖν. καὶ δὴ καὶ χρόνῳ ποτὲ δώσειν ἔμελλον ἀνοσίου δαιτὸς δίκην, ὡς τὸ θεοστυγὲς θηρίον, καθάπερ φησὶν (2) εὐριπίδης, ὁ κύκλωψ. τὸ κρέα, κατ' ἀποκοπὴν τοῦ κρέατα, κρέαα.

295. Κωτίλῳ.) ψόγος τῆς φλυαρίας καὶ ἀδολεσχίας. σιωπῶν δὲ, φησὶν, ὁ μὲν λάλος ἀδύνατος, λυπηρὸς δὲ τοῖς παροῦσιν ἀεὶ γίνεται. κωτίλη δὲ, ὡς λέγουσι, ἡ

 χελι-

χελιδὼν· ὅθεν οἱ φλύαροι, κωτίλοι ἐκλήθησαν. κέχρηται καὶ ὁ θεόκριτος τῇ λέξει, (a) ἀδωνιαζοῦσαις,

παύσασθ' ὦ δύστανοι ἀνήνυτα κωτίλλοισαι.

καὶ μετ' ὀλίγον, (b)

—— τί δέ τιν ἢ κωτίλαι εἰμὲν;

297. Ἀναγκαίη δ' ἐπιμ.) λυπηρὰ καὶ ἀνιαρά. τοιαῦτα γὰρ πάντα, ὅσα ἀνάγκην ἔχει.

299. Οὐδ' ἐθέλ.) ὅτι ἄφιλος (a) ἡ δυστυχία, οὐδὲ οἱ γνήσιοι ἀδελφοὶ πιστοί, φησι, διαμένουσιν ἐν τοῖς δεινοῖς. καὶ (b) ὁ παρ' εὐριπίδῃ ἡρακλῆς,

φίλοι γάρ εἰσιν ἀνδρὶ δυστυχεῖ τινες;

καὶ πάλιν, (c)

ἄφιλον, ἵν' αὖθις σοι λέγω, τὸ δυστυχές.

301. Πικρὸς καὶ γλυκύς.) παραινεῖ τοῖς οἰκείοις, καὶ γείτοσι προσφέρεσθαι οὐκ ἀεὶ τὸν αὐτὸν τρόπον, ἀλλ' ἦθος ἐνδείκνυσθαι διάφορον, καὶ εἶναι οἷον μὴ καταφρονητὸν δοκεῖν. ἔστι δὲ ἀπηνὴς, ὁ σκληρὸς καὶ ἀπάνθρωπος: καὶ ἦν τὰ ἀντίθετα ὅμοια τοῖς πρότερον, πικρὸς καὶ γλυκὺς, εἰ ἐπηνὴς γράφοιτο, καὶ νοοῖτο ὁ προσηνὴς καὶ προσφιλής. λάτρις δὲ, ὁ θεράπων καὶ ὑπηρέτης. δμῶες, οἰκέται καὶ δοῦλοι, παρὰ τὸ δεδμῆσθαι, ἤγουν κεκρατῆσθαι.

303. οὐ χρὴ κιγκλίζειν.) κατὰ τῶν μεριμνώντων τοῦ βίου ταῦτα παραίνεσαι, καὶ ὅτι χρὴ ἀγαπᾶν τὰ παρόντα ἀγαθὰ, ὅρον τε τίθεσθαι τῶν ἐπιθυμιῶν, καὶ τοῦ πλεονεκτεῖν. πολλοὶ γὰρ πολλάκις μειζόνων ἐπιθυμοῦντες, καὶ τὰ παρόντ' ἀπώλεσαν

λίσαι, φησὶν (a) ὁ ῥήτωρ κατ᾽ ἀριστοκράτους. ἐκ τοὐναντίου δὲ, τὸν κακὸν βίον μεταθέσθαι καὶ διορθώσασθαι ἀεὶ σπουδαστέον. τὸ κιγκλίζειν, (b) κινεῖν ἐστὶ καὶ σείειν, ὅπερ ποιεῖ τὸ ὄρνεον κίγκλος, κατὰ τὰ πυγαῖα πτερὰ, ὅθεν καὶ σεισοπυγὶς ὠνόμασται.

305. οἱ κακοί.) πρὸς τὰ εἰρημένα, (a)

ἐσθλῶν μὲν γὰρ ἄπ᾽ ἐσθλὰ μαθήσεαι.

ὅτι γὰρ προστρίβουσιν οἱ μοχθηροὶ τῶν ἀνθρώπων κακίαν τοῖς συνήθως ἔχουσι πρὸς αὐτοὺς, ὡμολόγηται, καὶ εἴρηται ἐν τούτοις, (b)

φθείρουσιν ἤθη χρήσθ᾽ ὁμιλίαι κακαί.

ὥσπερ γοῦν δικαίῳ καὶ σώφρονι ξυνών τις, ἐπιδίδωσιν εἰς τὰς ὁμοίας τῶν ἕξεων, οὕτω κἀκ τοῦ ἐναντίου, ὁ τοῖς ἀδίκοις καὶ ἀκολάστοις ὁμιλῶν, διαφθείρεται τὸ ἦθος, καὶ γίνεται τοιοῦτος οἷοί εἰσιν ἐκεῖνοι οἷς ξυνέστι. διὰ τοῦτο καὶ ἐν τραγῳδίᾳ (c) τίς φησιν,

ὅστις δ᾽ ὁμιλῶν ἥδεται κακοῖς ἀνὴρ,
οὐ πώποτ᾽ ἠρώτησα, γιγνώσκων ὅτι
τοιοῦτός ἐστιν, οἷσπερ ἥδεται ξυνών.

308. Πάντα λέγειν ἔτ᾽.) ἔτυμα, εὖ καὶ ὀρθῶς ἔχοντα.

309. Ἐν μὲν συσσίτοισι.) παράγγελμα συμποσιακόν. ὁ γοῦν νοῦς· παρὰ τὸ δεῖπνον μὴ ἴσθι ἄφρων, μηδὲ ἀνόητος, ἀλλὰ κατεστηκὼς τὰς φρένας καὶ πιστὸς, πρὸς τοὺς παρόντας οὕτω διακείμενος ὡς εἰ ἂν ἄπειεν.

310. Πάντα δ᾽ ὁμιλήτω.) ἅπαντας τοὺς ὁμιλοῦντας ἐν χώρᾳ τίθει μὴ παρέντων, τουτέστι μηδὲν περιεργάζου, μήτε πρᾶσσε περιττόν.

311. Εἰς δὲ φέρειν.) καρτέρει δὲ πρὸς τὴν ἐκφορὰν τῶν γελοίων, καταμαθὼν ἑκάστου τὸν τρόπον καὶ τὸ ἦθος. τὸ θυρῆφι δὲ, ἔξω θυρῶν.

313. Ἐν μὲν μαινομ.) πρὸς τὸ, πολύπου ὀργὴν ἴσχε. πιθανόν, φησι, τρόπον περιβάλλομαι ἐμαυτῷ, οἵους ἂν γνῶ εἶναι τοὺς συνόντας.

315. Πολλοί τοι πλουτ.) ὅτι οἱ ἀγαθοὶ ἄνδρες βελτίους εἰσὶ τῶν πλουσίων. ἡ γὰρ ἀρετὴ κτῆμα ἴδιον καὶ τῆς ψυχῆς ἐστιν, ὁ δὲ πλοῦτος ἐπίκτητον καὶ τῆς τύχης. ἔστι δὲ τὰ ἐλεγεῖα ταῦτα (a) σόλωνος, ἐκλεχθέντα ὑπὸ πλουτάρχου, ἐν τῷ βίῳ αὐτοῦ.

319. Κύρν' ἀγαθὸς.) ὅτι οἱ ἀγαθοὶ ἐπ' ἀμφότερά εἰσι τοιοῦτοι, ἰσχυρογνώμονές τε καὶ ἀπαθεῖς πάντη ὑπάρχοντες· οἱ δὲ πονηροὶ εὐτυχοῦντες, ἐκφαίνουσι τὴν κακίαν, οὐ δυνάμενοι κρατεῖν ἐκείνης.

323. Μήποτ' ἐπὶ.) παρακελεύεται συγγνώμην ἔχειν τοῖς φίλοις, ἤν τι δοκῶσιν ποτε πλημμελῆσαι, καὶ μὴ εἶναι μεμψιμοίρους. κατὰ τοῦτο, (a) ὅτι γνῶναι δεῖ τὰ τῶν φίλων ὑστερήματα, μὴ μέντοι καὶ μισεῖσθαι αὐτούς. διδάσκει δ' ὅτι ἀνθρώπων οὐδεὶς ἀναμάρτητος διάγει τὸν βίον. ἀμφὶ γὰρ ἀνθρώπων φρεσὶν ἀμπλακίαι ἀναρίθμητοι κρέμανται, κατὰ τὸν (b) πίνδαρον. καὶ (c) μηδὲν ἁμαρτεῖν, καὶ πάντα κατορθοῦν, μόνων τῶν θεῶν ἐστι. ὄντος ἄρα τῆς ἀνθρωπίνης φύσεως οἰκείου τοῦ σφαλῆναι, καὶ τῶν θεῶν μόνον οὐ φερόντων καὶ προσιεμένων τὸ ἁμαρτάνειν, πρᾴως ἐνεγκεῖν δεῖ τὰ τῶν φίλων παραπτώματα. χάρισαι δὲ καὶ, φίλοι αὖ δέ ἀπολέσθαι.

καὶ

329. Καὶ βραδὺς εὑβούλας.) κατὰ τὸ ὁμηρικὸν, (a) οὐκ ἀρετᾷ κακὰ ἔργα, κιχάνει τοι βραδὺς ὠκύν. ὁ γοῦν προμηθικῶς βραδὺς ὢν, καὶ διώκων τὸν ταχὺν, ῥαδίως ἂν ἕλοι αὐτὸν, σὺν εὐδίκᾳ. ἢ ὡς ἐν ἄλλοις, ἡ θεία δίκη, ἤγουν συμπράττοντος τοῦ θεοῦ τῇ δικαίᾳ ἐπιχειρήσει.

331. Ἥσυχος.) ὑποθήκη δικαιοσύνης. μέσον γάρ τι τὸ δίκαιον, κατ' (a) Ἀριστοτέλη. καὶ μεσίδικοι, οἱ δικασταί. καὶ δίκαιον, ὅτι δίχα ἐστὶν, ὥσπερ ἂν εἴ τις εἴποι δίχαιον. καὶ δικαστὴς, ὁ διχαστής.

333. Μήποτε φευγ.) ἡ παραίνεσις συστέλλει τὴν πεποίθησιν ἐπὶ τῶν προφυγαδευθέντων καὶ ἀποκατασταθέντων. λέγει δὲ, ὅτι τοὺς φυγάδας ἐπανήκοντας οὐ χρὴ φίλους ποιεῖσθαι ἐλπίδων λαμπρῶν ἕνεκα. οὐδεὶς γάρ, φησι, μετὰ τὴν κάθοδον ἔτι τὴν προτέραν ἰσχὺν καὶ ἀξίωσιν ἔχει.

335. Μηδὲν ἄγαν.) κατὰ τὸ (a) σπεῦδε βραδέως· καὶ δελφικὸν ἐπίγραμμα, (b) μηδὲν ἄγαν· καὶ ὅτι (c) μεσότης ἡ ἀρετή· καὶ ὅτι, (d) τῆς ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν. ἐσθλὸν γὰρ γενέσθαι χαλεπὸν, (e) κατὰ τὸν πιττακόν.

337. Ζεύς μοι.) ἐν τούτοις ὁ ποιητὴς λιπαρῶς εὔχεται, δυνασθαί ποτε τοσοῦτον, ὥστε καὶ ἀντευεργετῆσαι τοὺς ὄντως φίλους, ἀποτίσοντα τὴν ὀφειλομένην αὐτὸν αὐτοῖς χάριν, καὶ τῶν προφανῶς ἐχθρῶν ὑπέρτερον εἶναι, καὶ τιμωρῆσαι τοὺς ἐζημιωκότας αὐτὸν, καὶ εὑρεῖν ἀνάπαυσίν τινα τῶν κακοπραγιῶν. ὥσπερ δὲ παρὰ πά-

σιν ἀνθρώποις ὠφελεῖν τοὺς φίλους, οὕτω καὶ τοὺς ἐχθροὺς ἀμύνεσθαι πρὸς ἀγαθῶν ἀνδρῶν εἶναι νενόμισται.

339. Θεὸς εἴη.) (a) παροιμιώδης ὑπερβολή, τὸ τὴν ἀνθρώπων φύσιν ὑπερβεβηκέναι τῇ εὐδαιμονίᾳ δόξαιμι ἄν.

343. Τεθναίην.) θάνατον ἂν κρεῖττον εἴη ὑπενεγκεῖν, ἢ δυστυχεῖν ἀεὶ, ἐκδεχομένου κακοῦ πάντοτ' ἐκ κακοῦ, καὶ γινομένης ἀντιδόσεως τῶν ἀνιαρῶν. τοῦτο γὰρ δηλοῦται, τὸ, εἰ μηδὲν τῶν ὀδυνῶν ἀνάπαυμα εὑροίμην, καὶ ἀντιδοίην ἀνίας ἀεὶ πρὸς ἀντ' ἀνιῶν. ἢ, εἰ μὴ καὶ ὑπὸ τῶν ἐχθρῶν δεινὰ πεπονθὼς οἷός τε γενοίμην, καὶ ἀντιδοῦναι αὐτοῖς ὀδύνης τι.

345. Αἶσα γάρ.) δυσχεραίνει διὰ τὸ τοιαύτην εἶναι μοῖραν αὐτοῦ, ὥστε προπηλακισθέντα ἀτιμώρητον διάγειν.

347. Κύων ἐπέρησα χαρ.) παροιμιωδῶς, μόλις (φησί) τὸν χειμάρρουν διενηξάμην ὥσπερ κύων, πάντ' ἀποβαλὼν ἅπερ εἶχον.

349. τῶν δ' εἴη μέλαν.) τὸ ἐμέ, φησιν, ἀποσυλησάντων, εἴθε γένοιτο ἀποκτανθέντων καὶ τὸ αἷμα ἐκροφῆσαι, ὠμῶς δὲ καὶ ἀπανθρώπως εἴρηται τοῦτο, ὡς καὶ τὸ παρ' ὁμήρῳ, [a] Ιλ. χ.

ὠμὰ ἀποταμνόμενον κρέα ἔδμεναι· ἐ.

— τοῦ ἐγὼ μέσον ἧπαρ ἔχοιμι Εσθέμεναι προσφῦσα. Ιλ. ω. (b)

Επί τ' ἐσθλός.) ἐσθλοῦ δή, φησι, καὶ ἀγαθοποιοῦ δαίμονος ἐπιβοηθοῦντος. τοῦτο γάρ ἐστι, τὸ, εἰ δαίμων ἐπάροιτο, ἤγουν ἐπαρήγοι, ἐκτελέσας ἅπερ ἐγὼ ἐν νῷ ἔχω.

ᾧ δή,

315. Ὦ δειλ.) ἐν ἄλλοις, ἄ, σχετλιαστικὸν καὶ αὐτό. ἀποπέμπειν δὲ τὴν πενίαν πειρᾶται, βαρυνόμενος τῇ ἐπιμονῇ αὐτῆς. λέγει δὲ ἐν ἤθει τάδε, κατ' ἀποστροφήν, ἀποδιοπομπούμενος καὶ δεόμενος ἀπιέναι αὐτήν.

Τί μένεις.) ἐρώτησις ἀποδιωκτική, μὴ μένε ἀντιβολῶν, μᾶλλον δὲ ἄπιθι, καὶ ζήτει ἄλλον ἤδη παρ' ᾧ ξενιωθήσῃ.

355. Τόλμα κύρ.) παραίνεσις ἀνεξικακίας, κατὰ τὸ Εὐριπίδειον, (a) μεταβαλλομένου δαίμονος, ἀνέχου. παρακελεύεται δ' ὅμως, μὴ κεῖσθαι, φασι, πεσόντα, ἀλλὰ πειρᾶσθαι ἀνίστασθαι σὺν θεῷ.

359. Μηδὲ λίαν ἐπι.) καλύπτεσθαι δεῖν, φησι, τὰ κακὰ, καὶ μὴ λίαν ἐπιφανῆ ποιεῖσθαι· οὐ γὰρ ὄφελος, ὀλίγων δῆτα ἐπιμελουμένων τοῦ κακῶς πράττοντος.

361. Ἀνδρός τοι.) ἀποφαίνει ἐνταῦθα, ὅτι πειρᾶσθαι χρὴ τιμωρεῖσθαι τοὺς ἐχθροὺς, καὶ ὅτι γλύκιστον τὸ ἰδεῖν δίκην ὑπέχοντας αὐτοὺς, ὥσπερ φησὶν ὁ Φιλοκλήτης, (a)

ὡς ζῶ μὲν οἰκτρῶς, εἰ δ' ἴδοιμ' ὀλωλότας,
τούτους, δοκοῖμ' ἂν τῆς νόσου πεφευγέναι.

ὁ δὲ νοῦς· ὁ πημανθεὶς κατατήκεται τὴν καρδίαν, καὶ τιμωρίας ποτὲ τυχὼν ἀναλαμβάνεται πάλιν, οἷον ἐκ νόσου τινὸς τῆς δυσθυμίας. πρὸς δὲ τὸ τῆς τιμωρίας τυγχάνειν χρήσιμόν ἐστι, τὸ μὴ προπετῶς καταδεῖξαι, καὶ ἐκλαλῆσαι τὰ νοούμενα. οὕτω γὰρ πρὸς φυλακὴν τρέπονται οἱ συνειδότες αὐτοῖς, ὅτι τινὰς ἐποίησαν κακῶς, καὶ φοβούμενοι μήποτε τύχωσιν ἀμοιβῆς. καίπερ

καὶ

καὶ λέγεται παρ' ἡμῖν, ὅτι ὁ ἀπειλῶν νουθετεῖ. ἔστι δὲ, φησιν, ἡ καρδία τῶν δειλῶν πρὸς τὸ φυλάττεσθαι ὀξυτέρα, καὶ εὑρετικωτέρα. μὴ οὖν προείπε, ἃ βούλῃ δρᾶσαι τὸν ἐχθρόν.

367. οὐ δύναμαι.) διαστείρει τὴν τῶν πολιτῶν αὐτοῦ κουφότητα, καὶ τὸ φθονερόν.

369. Μωμεῦνται.) κατὰ τὸ (a) παροιμιῶδες τρίμετρον,

μωμήσεταί τις θᾶσσον ἢ μιμήσεται,

ᾧ καὶ ζεῦξις ὁ ζωγράφος ἐχρῆτο, ἐπαιρόμενος τῇ κατορθώσει, ὅτε τὴν πηνελόπην ἔγραψε.

371. Μή μ' ἄεκ.) κατὰ τὸ, (a) εὔνοι' ἄκαιρος οὐδὲν ἔχθρας διαφέρει. ἔστι δὲ μεταφορὰ, παρὰ τῶν ἵππων ἢ βοῶν, οἵτινες βιαίως ὑπό τι ζυγὸν ἄγονται, καὶ μάστιξιν ἐπιτείνονται. μὴ οὖν, φησιν, ἐμὲ μᾶλλον βούλοιο φιλεῖν, ἤπερ ἐμοὶ ἀρέσκει. μηδὲ ἀνάγκην προσφέρε, μήτε τὸν φεύγοντα δίωκε,

373. Ζεῦ φίλε.) ταῦτα σχεδόν ἐστιν, ἃ περιέτρεψαν τὸν ἀνθρώπινον νοῦν περὶ θείας προνοίας σκοπούμενον, ὅτι ἀδιάτακτα δοκεῖ εἶναι τὰ ἐν τῷ βίῳ, ὅπως ἤτοι εἰκῇ, ἢ καὶ διά τινα ἀνάγκην μοιριδίαν, συμβαίνειν δοκοῦσι, καὶ μὴ διανέμεσθαι προμηθικῶς τὰ πράγματα, κατ' ἀξίαν τοῖς φαύλοις τε καὶ χρηστοῖς τῶν ἀνθρώπων. καὶ τοῦτο κεφάλαιον σχεδόν ἐστι τῶν λόγων, οἷς χρῶνται οἱ καθιππαζόμενοι τῆς προνοίας σοφισταί, κάτω κύπτοντες δηλονότι εἰς τὴν γῆν, καὶ μήποτ' ἐπαίροντες τὰ ὄμματα,

..., ὥστε βλέπειν ἄνω, καὶ τὰ ἐν οὐρανῷ θεωρεῖν, ὅπου θαυμαστὴν ἂν καὶ ἀμύθητον εὕρισκον ἂν ζητοῦντες, τάξιν τε καὶ διάκοσμον· καίπερ οὐδὲ ἐνταῦθα εἰκῆ, καὶ ὡς ἔτυχε, φερομένων τῶν πραγμάτων, ἀλλὰ πλείστων ὅσων πάντοτε ἐνδεικνυμένων, ὅτι καὶ τὰ τῇδε σοφοῦ ἀρχιτέκτονός ἔργα ἐστὶ, κατὰ τὸν (a) ξενοφώντειον σωκράτη. ἀλλὰ τὸ οἰκεῖον πιέζει, (b) φασίν. οἱ γὰρ δυστυχοῦντες, καὶ κακῶς πράττοντες ἐνταῦθα, ἐκεῖνοί εἰσιν ἔξαρχοι τῆς δὲ τοῦ θείου βλασφημίας, ἐπιβοῶντες καὶ κατηγοροῦντες αὐτοῦ ἀκολάστων γυναικῶν δίκην, τῶν λοιδορουσῶν οἷς πολὲ προσέπταισαν. τῶν γὰρ ὀλβίων λεγομένων καὶ εὐημερούντων, οὐδενός πω οὐδεὶς ἤκουσε τὰ τοιαῦτα σχετλιάζοντος καὶ ἀγανακτοῦντος, καὶ τῇ ἔχθρᾳ ταύτῃ, κατὰ τὸν (c) πίνδαρον, σοφίᾳ προσέχοντος. φησὶ δ' οὖν ὁ θέογνις, ὦ ζεῦ, βασιλεῦ τε καὶ κύριε ἁπάντων, ὅστε πάντα γινώσκεις, καὶ δὴ καὶ τὰ διανοήματα ἑκάστου, θαυμαστόν γε μοὶ δοκεῖ εἶναι, τοὺς δικαίους καὶ ἀδίκους τῶν αὐτῶν τυγχάνειν παρὰ σοῦ. καὶ ταῦτα οἷον πρὸς τὸν δία ἀπέτεινε δυσκολαίνων· τὰ δ' ἑξῆς, περὶ τῶν αὐτῶν ἐξηγητικῶς ἐποιήθη. ἤτοι, φησὶν, τρέψας τὸν νοῦν πρὸς τὰ σώφρονα τῶν ἔργων, ἢ ἐπισκέψῃ τὰ τῆς ὕβρεως, οὐδὲν ἂν μᾶλλον διαγινώσκειν δύναιο, ὁπότερ' ἂν ἐκείνων μᾶ[λλ]ον εὔνουν τὸ θεῖον ἔξουσι. οὐδὲν γὰρ διακέκριται καὶ διασε[σα]φήνισται περὶ τούτου, τῶν μὲν καλῶν πλειστάκις ἀ[illegible], τῶν δ' αἰσχρῶν ἀτιμωρήτων ὑπαρχόντων. ἐπειδὴ δὲ δοκεῖ τοῦτο τῶν ἀτοπωτάτων εἶναι,

μὴ

(d) μὴ δεῖν πράττειν τὰς δεόντ' ἐξειργασμένας,

Διὰ τάδε καὶ ὁ ποιητὴς δυσχεραίνει μάλιστα, ὅτι οἱ πονηροὶ εὐτυχοῦσι, τῶν ἀγαθῶν ἐν πάσῃ ἀμηχανίᾳ διαγόντων. ἔμπης δέ, φησι, τουτέστιν, οὐδὲν δ' οὖν ἧττον, ἀκέραιον κτῶνται τὴν εὐδαιμονίαν οἱ πονηροὶ,

(ἀντιτίθησι γὰρ τά τε πρόσωπα καὶ τὴν τύχην,)

οἱ δὲ τὸν θυμὸν ἴσχονται ἀπὸ δειλῶν ἔργων, τουτέστιν, οἱ ἀπέχονται τῶν αἰσχρῶν, καὶ ἀγαπῶσι τὴν δικαιοσύνην, ἐκεῖνοι ὅμως ἀποροῦσι, καί εἰσιν ἀχρήματοι. τὰ δὲ λοιπὰ, ψόγος ἐστὶ τῆς πενίας, ἣν καὶ μέγιστον τῶν λυπηρῶν, καὶ πλείστων κακῶν αἰτίαν ἀνθρώποις εἶναί φησι. λέγει δὲ, εἶναι τὴν πενίαν μητέρα τῆς ἀμηχανίας· οὕτω γὰρ ἐν ἐνίοις τῶν ἀντιγράφων εὕρηται. καὶ ἐν τοῖς ὀλίγῳ ἑξῆς ὡσαύτως εἴρηται, ὅτι ἡ πενία τίκτει τὴν ἀμηχανίαν, κατὰ τὰ πρότερον (e) λεχθέντα, ὅτι ἀνὴρ πενίῃ δεδμημένος, οὔτε τι ἔρδειν, οὔτ' εἰπεῖν δύναται· τουτέστι, κατέχεται πάσῃ τῇ ἀπορίᾳ. ἐκ δὲ τῶν ἀλκαίου (f) μνημονεύεταί τινα, ἐν οἷς ἀμηχανία λέγεται, εἶναι ἀδελφὴ τῆς πενίας.

393. Ἐν πενίῃ.) ἐν ταῖς μεταβολαῖς, μάλιστα περιφανὴς γίνεται ὁ τρόπος τῶν ἀνθρώπων. δείκνυσι γοῦν, φησίν, ἡ καταλαβοῦσα πενία, οἷος ἀνήρ τις ἐστὶν, ἐφ' ὅσον ἂν χρόνον ἀχρήμων ὢν διαμείνῃ. καὶ ἕπονται τῇ προτάσει αἰτίαι ἀντίθετοι. οἱ φαῦλοι γὰρ περιφανῶς δι' ἔνδειαν ἐπὶ τὸ ἀδίκως βουλεύεσθαί τε καὶ πράττειν ἐκφέρονται,

Διὰ

διαστρεφόμενοι τὴν γνώμην· οἱ δὲ χρηστοὶ ἐπ' ἀμφότερα τῆς τύχης συνεστηκυῖαν τὴν διάνοιαν, καὶ τὴν προαίρεσιν ἀσάλευτον φυλάττουσι· καρτερικοὶ γὰρ, καὶ ὑπομονητικοὶ τῶν δεινῶν γίνονται, κατὰ δὲ τὰς εὐτυχίας οὐκ ἐπαίρονται, οὐδ' ἀναπτεροῦνται.

399. Αἰδεῖσθαι.) φιλανθρωπίας καὶ εὐσεβείας παραίνεσις. αἰδῶ, φησι, νέμον τοῖς φίλοις, καὶ εὔορκος ἴσθι, καὶ ἐπιμελὴς τοῦ μὴ παροργίσαι τὸ θεῖον. τὸ δὲ ἔντρεπε, σημειωθήτω, καὶ ζητείσθω εἰ ὀρθῶς, ἢ πῶς κεῖται ἐνταυθοῖ.

401. Μηδὲν ἄγαν.) κατὰ τὸ (a) πυθαγόρειον, μέτρον δὲ ἐπὶ πᾶσιν ἄριστον. λέγει δὲ, ὅτι ἡ τῆς ἀδικίας αὐτόθεν βλαβερά ἐστιν ὅτε γίνεται. ἀρχὴ δὲ τῆς βλάβης, ἡ τοῦ νοῦ διαστροφὴ, ἥπερ ἐστὶ δεινοτάτη τῶν τιμωριῶν, (b) ὅταν ἡ θεία

ὀργὴ 'ξαφαιρῆται φρενῶν,
τὸν νοῦν τὸν ἐσθλὸν εἰς δὲ τὴν χείρω τρέπει
γνώμην, ἵν' εἰδῇ μηδὲν ὧν ἁμαρτάνει,

κατὰ τὴν τραγῳδίαν. καὶ ἡ παρ' ὁμήρῳ παλλὰς, (c) πανδάρῳ φρένας ἄφρονι πεῖθεν, ἐπαίρουσα ταῖς ἐλπίσι κούφαις, ὅτι κτείνας τὸν μενέλεω, χάριν καὶ κλέος λάβοι πρὸς τρώων, καὶ μάλιστα τοῦ ἀλεξάνδρου.

τοῦ κεν δὴ πάμπρωτα παρ' ἀγλαὰ δῶρα φέροιτο.

κατὰ γὰρ τὴν ἄλλοθί που (d) τραγῳδίαν, ὡς εὐστάθιος ἐξέθηκε, τὸ κακὸν δοκεῖ,

ποτ' ἐσθλὸν εἶναι, τῷ δ' ὅτῳ θεὸς φρένας
ἄγει πρὸς ἄτην ——

φιλ-

407. φίλτατος.) ἔμβλημα φιλικῆς καταμέμψεως. σὺ μὲν, φησιν, ἠγνωμόνησας ἁμαρτὼν εἰς ἐμὲ, ἐγὼ δὲ ἀναίτιός εἰμι.

409. οὐδένα θησαυρόν.) τὴν αἰδῶ νοητέον δέξασθαι ἐναντιουμένην πάσαις πράξεσιν αἰσχραῖς, οὐ μόνον δὲ ἐν πολέμῳ κατὰ τὸν ὅμηρον, (a)

αἰδομένων ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται,

ἀλλὰ διαπαντὸς ἡ αἰσχύνη σωτήριος οὖσα εὑρίσκεται, καὶ ἀνάγκην ἐπιφέρουσα ὑπὲρ τοῦ μηδὲν αἰσχρὸν ποιῆσαι. διὸ καὶ εὖ εἴρηται τοῦτο, (b) αἰσχύνεσθαι χρὴ μάλιστ' ἕκαστον, οὐχ οὕτως τοὺς ἄλλους ὥσπερ αὐτὸν ἑαυτόν. καὶ γὰρ ἂν τοὺς ἄλλους λάθῃ τις αἰσχρὰ ποιήσας, ἑαυτῷ γε συνειδήσει, κατ' ἰσοκράτη. τὸ δίστιχον εὕρηται καὶ οὕτως ἔχον·

οὐδένα θησαυρὸν καταθήσεαι ἔνδον ἀμείνω
αἰδοῦς, ἣν ἀγαθοῖς ἀνδράσι Κύρνε δίδως.

411. Μηδενὸς ἄν.) ἤτοι παραγγελτικῶς ἐξενήνεκται τοῦτο, ἢ καθόλου καὶ γνωμικῶς, ἢ τό δὲ οὖν φησὶ, δόκει εἶναι ἑταῖρος, τουτέστι σπούδασον τόπον ἔχειν φίλου φαύλου οὐδενὸς, τῶν δυνατῶν καὶ σοφῶν ἵνα ᾖ κακίων, ἐνδεέστερος καὶ ἀβέλτερος. ἢ δόκει φίλος ἐκείνοις εἶναι, οἵπερ δυνάμει καὶ σοφίᾳ ὑπερέχουσι μάλιστα πάντων ἀνθρώπων. εἰ δὲ καθόλου ἐνδεχοίμεθα, παραστατέον ἂν εἴη τότε τὴν λήγουσαν τοῦ ῥήματος, καὶ χαριέστερον δοκεῖ. ὥστε εἶναι τὸν νοῦν· ὁ δυνατὸς καὶ σοφὸς φίλος οὐδέποτε δοκεῖ εἶναι κακίων, ἤγουν τῶν φαυλοτέρων· ἢ καὶ μηδενὸς ἀνθρώ-

ἀνθρώπων κακίων, τουτέστι πάντων βέλτιστος· ἢ, μη-
δενὸς τῶν δυνατῶν καὶ σοφῶν ἑταῖρος κακὸς εἶναι νο-
μίζεται. ἤδη δέ τινες ἐξέδωκαν ταῦθ' οὕτω· μηδενὸς
ἀνθρώπων κακίας δοκεῖ εἶναι ἐτ. ὥστε νοηθῆναι, ὅτι ὁ
σώφρων καὶ φρόνιμος τῆς τῶν ἄλλων πονηρίας οὐ βού-
λεται μετέχειν. ἔστι δ' οὖν ὁ στίχος τῶν φαινομένων ἀδιορ-
θώτως ἔχειν. ὥσπερ δὲ ἐν ταῖς δυσχωρίαις πλεῖστα τῆς
ὁδοιπορίας ἴχνη καθορᾶται, οὕτω καὶ αἱ συχναὶ ἐξηγή-
σεις σχεδὸν ἀεὶ ἔνδειξιν παρέχουσι τοῦ ἀδιανοήτου τῆς συγ-
γραφῆς. σημειωσάμενοι τοίνυν καὶ ταῦτα, ἐπὶ τὰ λοι-
πὰ ἔλθωμεν.

413. Πίνων.) καύχησις, ὅτι καὶ μεθύων ἐπίσταται αἰδεῖ-
σθαι τοὺς φίλους. οἱ δὲ κουφόνοοι τῶν ἀνθρώπων, καὶ
ματαιόφρονες, ἐν ταῖς οἰνοποσίαις μάλιστα κατα-
φανεῖς γίνονται, (a) οἷον τὸ ἦθος ἔχουσι. τὸ δὲ θαρρήσομαι,
θερμαίνομαι, καὶ χρῶμαι ἐπὶ τὸ ἱλαρώτερον τῇ οἰνοπο-
σίᾳ.

415. οὐδὲν ὅμοιον.) ἀγανάκτησις περὶ τοῦ, ὅτι τοῖς πολ-
λοῖσί τοι

βροτῶν ἄπιστος ἐσθ' ἑταιρείας λιμὴν,

κατὰ τὸν Σοφοκλέους Αἴαντα. (b)

417. Ἐς βάσανον.) μεταφορὰ, ἀπὸ τοῦ βασανιζομένου
χρυσοῦ, ὃν ἐπὶ δοκιμασίᾳ ἐντρίβονται λίθῳ τινὶ, οἷς τοῦ-
το ἐπιμελές. καλεῖται δὲ πέτρα αὕτη λυδία, ὑπὸ (c)
Θεοκρίτου. ὁ δὲ νοῦς· ὅσον διαφέρει τριβόμενος ὁ χρυσὸς
παρὰ μολυβδῷ τῇ χροιᾷ, τόσον ἐγὼ ὑπερέχω τῶν

φίλων εἶναι φαινόντων· ἀεί τε ἡμῖν ὑπέρτερος, ἤγουν ἀκεραιότερος, καὶ βελτίων νοῦς ἔνι. ἡ γὰρ ὑπερτερίη, ἐνταῦθά γε οὐδὲν ἂν ἄλλο εἴη, εἴπερ ὑπεροχή.

421. Πολλοῖς ἀνθρώπ.) κατὰ τῶν ἀκαίρων ἀδολεσχιῶν, καὶ τῆς (a) ἀθυρογλωσσίας λεγομένης, ἢ κατὰ τὸν (b) Εὐριπίδην στομάργου γλωσσαλγίας, παρεκτέθειται ταῦτα. καὶ παραίνεσις ἐν αἰτιολογίᾳ πρόσκειται ἀντιθετική. ὥσπερ γάρ, φησι, τὰ καλὰ περιστέον καὶ ἐπιδεικτέον, οὕτω τὸ κακὸν ἀποκρυπτέον καὶ συγκαλυπτέον. οἱ δὲ στωμύλοι καὶ λάλοι τῶν ἀνθρώπων, τὰ κακὰ κηρύττουσι, καὶ ἐξαγορεύουσι μάλιστα, καί σφιν πολλ' ἀμέλητα μέλει. οἱ γὰρ ἀδόλεσχοι καὶ πολυπράγμονές εἰσιν. ἐν ἐνίοις δέ, πολλ' ἀλάλητα, ἤγουν ἅτινα ἂν κρύψαι σιγῇ βέλτιον ἦν. πολλαῖς γάρ, κατ' Ἰσοκράτη, (c) ἡ γλῶττα προτρέχει τῆς διανοίας.

423. Πολλάκι γάρ.) εἴρηται πρὸς τὴν παροιμίαν, κακὸν εὖ κείμενον μὴ κινητέον· καὶ τὸν περὶ καμερίνης χρησμόν: (a)

μὴ κινεῖν καμάριναν, ἀκίνητος γὰρ ἀμείνων.

425. Πάντων μέν.) γράφεται ἐν ἐνίοις, ἀρχὴν μέν, τουτέστι πάντως. κατὰ τὰ (a) σοφόκλεα, μὴ φῦναι τὸν ἅπαντα νικᾷ λόγον, τὸ δ' ἐπεὶ φανῇ, βῆναι κεῖθεν, ὅθεν περ ἥκει, πολὺ δεύτερον, ὡς τάχιστα. ἔστι δ', ὁ λόγος, ὡς διηγήσατο ὁ Ἀριστοτέλης ἐν τῷ Εὐδήμῳ, ἢ περὶ ψυχῆς ἐπιγεγραμμένῳ, καθάπερ φησὶ Πλούταρχος ἐν τῷ πρὸς

Ἀπολ-

ἀπολλώνιον (b) παραμυθητικῷ, τοῦ σιληνοῦ, ὃ ὑπὸ μίδου συλληφθέντος, καὶ ἀναγκασθέντος εἰπεῖν, τί βέλτιον τοῖς ἀνθρώποις, καὶ τί τὸ πάντων αἱρετώτατον; ἀπεφήνατο γάρ, ὅτι ἄριστον πᾶσι, καὶ πάσαις, τὸ μὴ γενέσθαι. τὸ μέντοι μετὰ τοῦτο, καὶ τὸ πρῶτον τῶν ἄλλων ἀνυστὸν· δεύτερον δὲ, τὸ γενομένους ἀποθανεῖν ὡς τάχιστα. ὁ δὲ ἐπίκουρος, ὥς φησι (c) λαέρτιος, ἀνεσκεύασε τὴν γνώμην οὕτω, εἰ μὲν ὁ εἰρηκὼς τοῦτο εἶπεν ὡς πεπεισθὼς, πῶς οὐκ ἀπέρχεται ἐκ τοῦ ζῆν; ἐν ἑτοίμῳ γὰρ αὐτῷ τοῦτ' ἐστὶν, εἴπερ ἦν βεβουλευμένον αὐτῷ βεβαίως. εἰ δὲ μωκώμενος, μάταιος ἐν τοῖς οὐκ ἐπιδεχομένοις. ἐπαμησάμενον δὲ πολλὴν γῆν κεῖσθαι, ἤγουν ἐπιφορήσαντα χοῦν πολλὴν, τουτέστι ταφέντα ὑπὸ χθονὸς βαθείας.

429. Φῦσαι καὶ θρέψαι.) πρὸς τὰ ἐξ ἱππολύτου, (a)

ὦ πόλλ' ἁμαρτάνοντες ἄνθρωποι μάτην,
τί δὴ τέχνας μὲν μυρίας διδάσκετε,
καὶ πάντα μηχανᾶσθε, κἀξευρίσκετε;
ἓν δ' οὐκ ἐπίστασθ' οὐδ' ἐθηράσασθέ πω,
φρονεῖν διδάσκειν οἷσιν οὐκ ἔνεστι νοῦς.

σώφρονα δὲ λέγει, τὸν μὴ σκαιῶς, μηδὲ ἀνοήτως διαζῶντα.

431. καὶ κακὸν ἐσθλόν.) γράφεται, κἀκ κακοῦ ἐσθλόν. τοὺς δ' ἀσκληπιάδας λέγει, τοὺς ἐμπείρους τῆς ἰατρικῆς. τὸν γὰρ ἀσκληπιὸν, ἀπόλλωνος καὶ κορωνίδος υἱὸν γεγονότα, ἐπὶ τοσοῦτόν φησι δυνάμεως ἐν τῇ ἀκέσει προεληλυθέναι, ὥστε καὶ τοὺς νεκροὺς ἀναστῆσαι· οὗ δ' υἱεῖς δύο, ὡς φησιν ὅμηρος. (a)

ἰητῆρ' ἀγαθὼ, ποδαλείριος ἠδὲ μαχάων.

433. Ἀτηρὰς.) μοχθηρὰς καὶ ἐπιπόνους.

437. Μύθοισι σαόφρ.) τοῖς σώφροσιν, ἤγουν εὐγνώμοις λόγοις τῶν νουθετούντων, καὶ εὐφρονούντων αὐτούς.

Ibid. Ἀλλὰ διδ.) ἀπηγόρευμα ἀντιθετικὸν, ὃ βούλεται ἐναντίως εἰρῆσθαι τοῖς (a) πρότερον. ἐσθλῶν μὲν γὰρ ἄπ' ἐσθλὰ μαθήσεαι, ὁ ἐν τῷ (b) μένων σωκράτης. ἀλλ' οὐκ ἔστιν. ὁ γὰρ κακὸς οὐκ ἂν σπουδαῖος δύναιτ' εἶναι κακός γ' ὤν. εἴη δ' ἄν, εἰ σπουδάζοι γενέσθαι ἀγαθός. ἡ γοῦν παραίνεσις, ἀεὶ τῶν ἀγαθῶν ἔχεο, καὶ κακοῖσι δὲ μὴ προσομίλει, οὐδὲν προσήκει τοῖς κακοῖς, ἀλλὰ τοῖς φιλαγάθοις, τουτέστι τοῖς σπουδαίοις, οἷς ἔτι νοῦς ἔνι. ὁ δὲ νοῦς οὗτος ἡ τῆς ἀρετῆς ἐπιθυμία καὶ μελέτη ὑποληπτέος. οὕτως εὖ εἴρηται ἑκάτερον τούτων. τὸ δ' ἔγεντο, κατὰ συγκοπὴν, ἀντὶ τοῦ ἐγένετο. μέμνηται τούτων καὶ ὁ σταγειρίτης, ἐν τῷ κ. τῶν νικομαχείων ἐν τούτοις. εἰ μὲν οὖν ἦσαν οἱ λόγοι αὐτάρκεις πρὸς τὸ ποιῆσαι ἐπιεικεῖς, πολλοὺς ἂν μισθοὺς καὶ μεγάλους δικαίως ἔφερον, κατὰ τὸν θέογνιν, καὶ ἔδει ἂν τούτους πορίσασθαι.

439. Νήπιος.) κατὰ πολυπραγμοσύνης. ἔστι δὲ τοῦτο τῆς δημώδους κουφότητος, καὶ τοῖς πολλοῖς τῶν ἀνθρώπων κοινὸν, λαλεῖν δὲ καὶ ἐπισκέπτεσθαι μὲν τὰ ἀλλότρια, τῶν δ' ἰδίων ἐπιλαθέσθαι τε καὶ ἀμελεῖν. ἀφ' ἧσπερ ματαιοφροσύνης ἀποστρέφων ὁ σωκράτης τοὺς ὁμιλοῦντας αὐτῷ, ἐκέλευεν ἀεί που ζητεῖν ἕκαστον, (a)

ὅττι τοι ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται.

καὶ μὴ ἐγχάσκειν τοῖς ἤτοι ὑπὲρ ἡμᾶς γινομένοις, ἢ ἀλ-
λοτρίοις ὑπάρχουσι. τὸ δ' ἐπιστρέφεται τὸν αὑτοῦ νοῦν, προσ-
έχει τὸν νοῦν ἑαυτῷ· ἤγουν στρέφεται, τουτέστιν ἀφορᾷ πρὸς τὸν
ἴδιον νοῦν, ἐκδέξαιτο δ' ἄν τις τὴν γνώμην καὶ κατὰ τῶν ἀεὶ
βουλομένων μὲν, καὶ δυναμένων ἔσθ' ὅτε συμβουλεύειν
τοῖς ἄλλοις, ἑαυτοῖς δ' οὔ.

441. οὐδείς τοι φέρτ.) ὑποθήκη περὶ τῆς ἀνεξικακίας
καὶ ὑπομονῆς. φέρεται δὲ καὶ τοῦ ἀρχιλόχου, (a) ἐν ᾧ φησὶν,
ὅτι θεοὶ ἐπ' ἀνηκέστοισι κακοῖσι τὴν τλημοσύνην ἐπέθεσαν. παραινεῖ
γοῦν φέρειν γενναίως, καὶ κατὰ τὸν ὅμηρον, (b) τετληότι θυμῷ,
ὅ, τι ἂν θεὸς διδῷ, καθάπερ καὶ ἐν τοῖς ἀνωτέρω (c)
παρεκελεύσατο.

447. Εἴ μ' ἐθέλ.) καύχησις περὶ τοῦ πιστοῦ καὶ εὐστα-
λοῦς, καὶ ἀπλάστου τῆς γνώμης. κέχρηται δὲ μεταφορᾷ, ἣ καὶ
ἐν τοῖς ἄνω (a) τοῦ καθαροῦ μὲν χρυσοῦ, δοκιμαζομένου δὲ
τῇ παρατρίψει πρὸς οὐ τοιοῦτον, ἢ καὶ πρὸς ἄλλο τι τῶν
μετάλλων. ὁ δὲ ἄπεφθος χρυσὸς, οὔτ' ἰῷ ποτε, οὔτε εὐρῶτι
μολύνεται.

453. Ἄνθρωπ.) περὶ σωφροσύνης, καὶ τοῦ γνῶθι σαυτὸν,
(a) παράγγελμα. ἄνοια γὰρ ἐσχάτη, τὸ δοκεῖν φρονεῖν ἄ-
φρονα ὄντα. πάλιν δὲ ὁ σώφρων ἐνταῦθα εἴρηται, ὁ εὐ-
γνώμων καὶ φρόνιμος, τὸ δὲ ζηλωτὸς, (b) ὁ μακάριος
νομιζόμενος, καὶ παρὰ πᾶσι τιμῆς ἄξιος.

457. οὔτοι συμφ.) περὶ τῶν ἀσυμφώνων συζεύξεων πε-
ποίηται ταῦτα, καὶ μετέφρασέ πως τῶν κωμικῶν τις θεό-
φιλος, ὡς (a) ἀθηναῖος ἐξέθηκεν ἐν τῇ ιγ'. οὕτως·

οὐ συμφέρον νέα ἐστὶ πρεσβύτῃ γυνή.
ὥσπερ γὰρ ἄκατος οὐδὲ μικρὸν πείθεται
ἐνὶ πηδαλίῳ, τὸ πεῖσμ' ἀπορρήξασα δὲ
ἐκ νυκτὸς ἕτερον λιμέν' ἔχουσ' ἐξευρίσκει.

τὸ δὲ σύμφορον, λυσιτελὲς καὶ ἁρμόδιον.

459. οὐδ' ἀγκύρας ἔχουσιν.) οὐ κατέχουσιν, φησι, ἐκείνην τὰ δεσμὰ τοῦ γάμου, ὥσπερ οὐδὲ πλοῖον ἐνίοτε αἱ ἄγκυραι, ἀλλ' ἀπορρήξασα τὸ πεῖσμα ἄλλοσέ ποι διὰ νυκτὸς ἄπεισι, ἡ στέργουσα γέροντος ἀνήρ. τὸ γοῦν λεγόμενον,(a) τὴν κατὰ σαυτὸν ἔλα, οὐ μόνον περὶ ἀξίας, ἀλλὰ καὶ περὶ ἡλικίας, ἐκδεκτέον ἂν εἴη.

461. Μήποτ' ἐπ' ἀπρήκτ.) καταστατικὰ τάδε ἐπιθυμίας. οὐ γὰρ ἐᾷ προσέχειν τὸν νοῦν τοῖς ἀνηνύτοις, καὶ ἐφίεσθαι τῶν ἡμῖν ἀδυνάτων διαπράξαι. ἄπρακτα γάρ φησι τὰ τοιαῦτα, καὶ ὧν οὐδεμία ἄνυσις. τὰ ἀνήνυτα. τὸ δὲ μενοινᾷ, ἐπιτρέπει, ἢ μέριμναν καὶ φροντίδα ἐπίτρεπε.

463. Εὐμαρέως τοι.) λέγει, ὅτι πᾶς βίος ἀνθρώπινος ἐπίπονός ἐστιν. (a) τὰ δὲ καλὰ δύσκολα, καὶ χαλεπά, κατὰ τὴν παροιμίαν. ὁ δὲ νοῦς· οὐδὲν χρῆμα διδόασιν οἱ θεοὶ τοῖς ἀνθρώποις, τουτέστιν οὐδὲν ἁπάντων. πορίζεται ἐν τῷ ἀνθρωπίνῳ βίῳ (ὅτι γὰρ τὰ συμβαίνοντα τοῖς ἀνθρώποις (b) θεόσδοτα εἰρήκασιν οἱ παλαιοί, δῆλον.) οὔτε μέγα, οὔτε σμικρόν, οὐδὲ σπουδαῖον, οὔτε φαῦλον, ἀμαρῶς, ἤγουν ῥᾳδίως καὶ ἀπόνως. μοχθεῖν γὰρ βροτοῖσιν ἀνάγκη, καὶ κατὰ τὴν τοῦ σοφοκλέους ἠλέκτραν, (c)

πόνου

ποίην τα χωρὶς ἐδὲν ἐυτυχεῖ.

τὸ γὰρ δειλὸν, ἐνταῦθα τὸ φαῦλον, καὶ ἀδόκιμον, καὶ εὐτελές. οὐκ ἔστι δὲ ταῦτ' ἐναντία τοῖς ἡσιοδείοις, (d) ὅτι

— τὴν κακότητα καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι,
τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν.

ἀλλὰ διδάσκει τοῦτο μᾶλλον, ὅπερ καὶ αὐτὸς ἡσίοδος, ὅτι ἐργεῖν δεῖ πανταχοῦ· καὶ ὅτι θεοὶ στυγέουσι ἀεργοὺς. οὐκ ἄρα διδόασί τι τοιούτοις. καὶ (e) ὅτι χρὴ ἔργον ἐπ' ἔργῳ ἐργάζεσθαι. ὅσῳ δ' ἂν πρᾶγμα χαλεπώτερον γένοιτο, τόσῳ μᾶλλον ἔνδοξον ὑπάρχει. ἔχει, φησὶν, χρῆμα ἅπαν κῦδος ἐπὶ χαλεπῇ πράξει· τουτέστι, μετὰ πόνου, καὶ δαπάνης, καὶ δυσχεριῶν γινόμενον.

465. Ἀμφ' ἀρετῇ.) παραίνεσις περὶ τῆς τῆς ἀρετῆς, καὶ μάλιστα τῆς δικαιοσύνης ἐπιτηδευμάτων· καὶ ὅτι μὴ χρὴ τὸ αἰσχρὸν κέρδος προτιμῆσαι τῆς δικαιοπραγίας.

467. Μηδένα τῶνδε.) συμποτικὸν παράγγελμα, καὶ ὑποθήκη περὶ φιλανθρωπίας. προσπεφώνηται δὲ σιμωνίδῃ. εἴρηται δὲ παρὰ τοῦτο, (a)

χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν.

472. Πᾶν γὰρ ἀναγ.) οὐ λυπηρὸς, φησιν, εἴης τοῖς φίλοις, εἴης δ' ἂν εἴ τινα οὐ παρὰ γνώμην τι ποιῆσαι ἂν ἀνάγκην προσφέροις ἂν αὐτοῖς. τὸν δὲ στίχον τοῦτον (a) ἀριστοτέλης πού παραχθεὶς, ἀναφέρει πρὸς εὔηνον, ὥστε ὑπολαμβάνειν τινὰ τοῦθ' ἅπαν τοὐπίγραμμα πεποιηκέναι ὑπ' ἐκείνου. ἐγένετο δὲ Εὔηνος ποιητὴς ἐλεγειογράφος, πάριος τὸ γένος. καὶ φανερόν ἐστιν, ὅτι διαφόρων τινῶν ποιήματα

συνεσκευάσθη ἐν τῷδε τῷ βιβλίῳ, συντεθέντα καὶ παραβληθέντα ὡς ἔτυχε.

473. Τῷ πίνειν.) παράστασιν, ἤγουν ἐγγὺς περιφέρων ὁ οἰνοχόος τὴν κύλικα ἐγχειριζέτω.

474. οὐ πάσας.) ἡδονικὴ γνώμη, κατὰ τὸ (a) ἐξ ἀλκήστιδος,

εὔφραινε σαυτὸν, πῖνε. τὸν καθ' ἡμέραν
βίον λογίζου σόν.——

ἀπολαύου, φησὶ, τῆς οἰνοποσίας, παρεχούσης τῆς τύχης. οὐ γὰρ ἀεὶ παραγίνεται ἐξουσία τοῦ εὐπαθεῖν.

476. Ὕπνου λυσικάκου.) διὰ τὴν τῶν κακῶν λήθην, οἷον λαθίπονος καὶ λαθικηδὴς τίς ὤν. καὶ ὅμηρος (a) ὀδυσσ. ψ'.

——ὅτε οἱ γλυκὺς ὕπνος
λυσιμελὴς ἐπόρουσε λύων μελεδήματα θυμοῦ.

477. Δείξω δ' ὥς.) παράδειγμα γενήσομαι ἡδείας καὶ χαριέσσης οἰνοποσίας, φυλάξας τοῦ πίνειν τὸ μέτριον. ἐν δὲ τῇ δεκάτῃ (a) τῶν δειπνοσοφιστῶν οὕτως ἔκκειται τὸ πεντάμετρον·

οὔτε τι νήφων εἰμ', οὔτε λίαν μεθύων.

479. Ος δ' ἂν ὑπερβ.) περὶ τῆς ἀμετροποσίας ἐπιζήμια ἐπὶ ψόγῳ τῆς μέθης κατέλεξε.

480. Τῆς αὐτοῦ.) κατὰ τὸ ὁμηρικὸν ὀδυσσ. ξ'. (a)

καί τι ἔπος προέηκεν ὅπερ τ' ἄῤῥητον ἄμεινον.

καὶ ἐν τῇ ὀδυσσ. φ'. λέγεται, ὅτι οἶνος (b)

βλάπτει, ὃς ἄν μιν χανδὸν ἕλῃ, μηδ' αἴσιμα πίνει.

καὶ ἀθήναιος ὁ ἀθηναῖος ἐν τῇ ί. (c)

ὄντως

οἶνος καὶ φρονέοντας ἐς ἀφροσύνην ἀναβάλλει.

ὁ δὲ νοῦς· ὁ καθ' ὑπερβολὴν χρώμενος τῇ οἰνοποσίᾳ, οὐκέτι κρατεῖ τῆς ἰδίας γνώμης, ἀλλ' ὑπεξούσιος γένηται τῇ μέθῃ, καὶ λαλεῖ σφαλερὰ, καὶ οἷα φαίνεσθαι αἰσχρὰ τοῖς νήφουσι. τὸ γὰρ εἴδεται, φαίνεται, εἴη ἄν. ἐν ἄλλοις δὲ γράφεται, καὶ νήφουσιν γίνετ' αἰσχρά.

483. Τὸ πρὶν ἐὼν σώφρων τότε νήπι.) τότε, ἤγουν μεθυσθεὶς, νήπιος καὶ ἠλίθιος γίνεται, ἐπιεικὴς ὢν ἐν τῷ πρόσθε χρόνῳ. παρ' ἀθηναίῳ δὲ, τὲ καὶ ἤπιος.

Ἀλλὰ σὺ ταῦτα.) παραίνεσις, ὅτι φευκτέον τὸ μεθύσκεσθαι, τὸ δ' ὑπερβολάδην, ἐς ὑπερβολὴν καὶ ἀμέτρως βούλεται. ὁ δὲ νοῦς· φύλασσε τὸ μέτρον ἐν τῷ πίνειν, μή πως ἐξενεχθεὶς εἰς μέθην, τῆς ἀκρασίας ἀνδράποδον γένοιο, δουλεύων καθ' ἡμέραν τῇ γαστρὶ, καὶ βιαζόμενος ὑπὸ τῆς ἀκολασίας.

484 Ἀλλ' ἢ πρίν.) παρ' ἀθηναίῳ οὕτως,

πρὶν μεθύειν δ' ἄρξῃ γ' ἀπανίστασο.

ἔστι δὲ ἡ παραίνεσις καὶ παρ' ἰσοκράτῃ, (a) ἐξανίστασθαι πρὸ μέθης.

487. ἢ παρεὼν μὴ πῖνε, σὺ δ' ἔχεις τοῦτο μάταιον κωτίλλεις ἀεί.) σὺ, φησιν, ἀεὶ παρὰ τὸν πότον πολλὰ πάνυ ἀγορεύεις, καὶ ἔχεις τοῦτον τρόπον τινὰ μάταιον καὶ κοῦφον, ἔνθεν δῆτα παραγίνεταί σοι τὸ πολλάκις μεθύσκεσθαι. εἴρηται δὲ παρὰ τοῖς παλαιοῖς (a) κυλικηγορεῖν, τὸ ἐπὶ κύλικι ἀγορεύειν. τὸ δὲ κωτίλλειν, σημαίνει συμμιγεῖς λόγους ποιεῖσθαι, καὶ διαλαλεῖν παρὰ πότον. καὶ ἐξέθη-

κεν (b) ἀθλώαιος Φωκυλίδου ἔπη τάδε, (c)

> χρὴ δ' ἐν συμποσίῳ κυλίκων περινισσομενάων,
> ἡδέα κωτίλλοντα καθήμενον οἰνοποτάζειν.

ἔστι δὲ τοῦτο τὸ χωρίον τῶν οὐκ ἀσφαλῶν, καὶ μᾶλλον τῶν ὑπόπτων, καὶ διαφόρως γε ἐν τοῖς ἀντιγράφοις ἐκ-λείμενον. γράφεται γὰρ ἐνιαχοῦ, σὺ δ' αὖ ἔχε. ἀλλαχοῦ δὲ, σὺ δ' οὖν ἔχε. καὶ αὖθις, σὺ δ' ἄλλ' ἔχε. ἡμεῖς δὲ τὰ προγραφέντα ἀγαπῶμεν, ἕως οὗ βέλτιόν τί ποτ' εὕρωμεν.

489. οὐ μὲν γὰρ.) ἐπειδή, φησιν, τῶν κυλίκων αἵπερ φιλοτήσιοι λέγονται, ὅτι φιλίας ἕνεκα προπίνονται, ἄλλη μὲν προσφέρεταί σοι, ἄλλη δὲ ἤδη προσηνέχθη, καὶ ἀπὸ τῆς μὲν ἤδη σπένδεις τοῖς θεοῖς, τὴν δ' ἑτέραν πρόχειρον ἔχεις, ὡς καὶ αὐτὴν ἐξαρύσων ὅσον οὐδέπω. οὕτω γοῦν οὐδεμία λείπεταί σοι πρόφασις τοῦ μὴ πίνειν ἀεί ποτε. ἡ δὲ σπονδὴ ἐπίκλησις ἦν θεοῦ, καὶ προσευχὴ πρὸ τῆς πόσεως. ὡς (a) ὀδ. γ'.

> αὐτὰρ ἐπὴν σπείσῃς τε καὶ εὔξεαι ἣ θέμις ἐστί,
> δὸς καὶ τούτῳ ἔπειτα δέπας, μελιηδέος οἴνου
> σπεῖσαι, ἐπεὶ καὶ τοῦτον ὀΐομαι ἀθανάτοισιν
> εὔχεσθαι. πάντες δὲ θεῶν χατέουσ' ἄνθρωποι.

(b) Φιλοτήσιος δὲ πρόποσις, καὶ φιλοτησία, φιάλη τε καὶ ἡμέρα, ἀπὸ τοῦ ἐν τῷ πίνειν φιλοφρονήσεως ἐλέχθη.

491. Ἀρνεῖσθαι δ' οὐκ.) λίαν κατάφορος ὑπάρχεις ἐπὶ τὸ πιεῖν, καὶ πρόθυμος εἰς τὸ δέξασθαι τὸ προσφερόμενον. ὃς δὲ τοιοῦτός ἐστιν, οἷος πολλὰς ἂν κύλικας ἐκπιὼν, μηδὲν εἴπῃ μάταιον, ἤγουν μωρὸν, ἐκεῖνον ἄξιον

ἡγεῖ-

ἡγεῖσθαι παντάπασιν ἀνίκητον εἶναι, τουτέστι ῥώμην ἔχειν ἀνυπέρβλητον, καὶ ἀκαταγώνιστον.

493. Υμεῖς δ' οὖ.) παραινεῖ τὰς ἐν συνουσίαις ὁμιλίας κοινὰς ποιεῖσθαι, καὶ μὴ ἰδιολογῆσαι, μηδὲ διαστήσασθαι, καὶ ἔχθρας ἐγεῖραι ἐν συμποσίοις.

497. Αφρονος ἀνδρὸς.) ἀποφαίνει τοῦθ' ὅπερ φασὶν οἱ παροιμιαζόμενοι, (a) οἶνος καὶ ἀλήθεια καὶ, ἐν οἴνῳ ἀλήθεια. τῶν γὰρ ὑποπεπωκότων γυμνοῦται τό, τε ἦθος καὶ ἡ γνώμη. καὶ πάντ' ἀνυπόκριτά ἐστι. δοκιμάζεται γοῦν, ὁ τῶν ἀνθρώπων νοῦς δι' οἴνου, οὐχ ἧττον, ἤπερ ἐν πυρὶ χρυσὸς καὶ ἄργυρος. διὰ τοῦτο πινόμενος ἀμέτρως, πολλάκις καὶ τοὺς νομιζομένους σοφοὺς ἀπέδειξεν ὁ οἶνος νηπίους. ἀνδρὸς δὲ πινυτοῦ, τοῦ ἐμπείρου καὶ ξυνετοῦ. τὸ δ' ἤρατο ὑπὲρ μέτρον, ἔσπασεν ἀμέτρως.

503. Οἰνοβαρῶ.) προσπεφώνηται τοῦτο τοὐπίγραμμα ὀνομακρίτῳ ὦ τινι γ' οὖν, καί ἐστι συμποτικὸς ἀστεϊσμός. προσποιουμένου τοῦ γράψαντος ὅτι μεθύει. οἰνοβαρῶ δὲ κεφαλὴν, βαρεῖαν ἔχω κεφαλὴν, ὃ καὶ καρυβαρῶ λέγεται, ὑπὸ τῆς οἰνοποσίας. τὸ δὲ, ταμίας γνώμης, ἤγουν ἐγκρατὴς τῆς γνώμης. τὸ δὲ δῶμα περιτρέχει, τουτέστιν ἰλιγγιῶ καὶ σκοτοδινιῶ. ἀλλὰ πειρηθῶ, ἤγουν πειρηθήσομαι, μὴ δὴ καὶ πόδες πεπεδημένοι εἰσὶ, καὶ νοῦς διεφθαρμένος, ὥστε τι πρᾶξαι διὰ μέθην ἠλίθιον καὶ αἰσχρόν.

509. οἶνος πινόμενος.) γνωμικὴ γνώμη περὶ τῆς οἰνοποσίας, ὅτι κατὰ τὴν χρῆσιν ἀγαθή ἐστι, καὶ κακή.

511. Ἦλθες δή.) κλεαρίστῳ τινὶ προσπεφώνηται τοῦτο τὸ ἐλεγεῖον, φίλῳ μὲν ὄντι, πένητι δέ. καί ἐστι σχετλιαστικὸν μὲν, καὶ δυσφορητικὸν ἐπὶ τῆς ἀμφοῖν πενίας. φιλοφρονητικὸν δ' ὅμως, καὶ ἐπαγγελτικὸν τῆς κατὰ δύναμιν ξενοδοχίας, καὶ μεταδόσεως τῶν παρόντων. ἔσεσθαι δέ φησι σοὶ ἕτοιμα τὰ ἡμέτερα πάνυ προθύμως, καὶ ταῦτ' ἀγαπᾶν σε, καίπερ γλίσχρως ἔχοντα, δεήσει· οὐ γὰρ ἀλλοτρίοις γε χρήσασθαι διεγνώκαμεν. ἔστι δ' ὅμοιον, ὦ λέγει συβώτης ὁμηρικὸς(2) τῷ ὀδυσσεῖ, ὅτι ἔσται

> δόσις αὐτῷ ὀλίγη τε, φίλη τε.

ὀλίγη μὲν, ὡς οἰκέτου· φίλη δὲ, ὡς ἱλαρῶς καὶ ἡδέως παρασκευασθεῖσα. ὁ νοῦς· διαπεραιωθεὶς ὦ κλεάριστε διὰ θαλάσσης πολλῆς, δεῦρο ἐλήλυθας πρὸς πενιχρὸν ἐμὲ, ὢν πένης καὶ αὐτός. ἐγὼ δ' ὅμως κατὰ τὰ τῆς νεὼς ἴκρια καὶ τὰ ἐρετῶν ζυγὰ, ἤγουν τὰς καθέδρας ξένια παραθήσομαί σοι, οἵων τῶν θεῶν παρεχόντων κύριοί γ' ἐσμὲν, χαρισόμεθα δὲ τῶν παρεόντων ἐλευθερίως, ἐκλεξάμενοι τὰ ἄριστα, καὶ οὐδὲν ποιησάμενοι ἀπόθετον καὶ ἀταμίευτον. οὐ μέντοι καὶ ἕνεκα ταύτης τῆς ξενοδοχίας, καὶ τῶν περιεργοτέρων τι, ὧν ἡμεῖς ἐνδεεῖς ἐσμεν, αἰτήσομεν παρ' ἄλλων, ὥστε λαμπροτέραν τὴν ἑστίασιν γενέσθαι. καὶ ἔσται σοὶ μὲν αὐτίκα ξένια παρ' ἡμῶν κατὰ τὰ ἡμέτερα. εἰ δὲ καὶ τῶν φίλων τις πάρεστι ἅμα, κἀκεῖνος συγγενέσθω σοι φιλικῶς, μετά σου κατακείμενος. περὶ δ' ἡμῶν τοῖς ἐρωτῶσί ποτε, μέμνησο τάδ' ἀποκρίνεσθαι, ὅτι τοῦ μὲν ἡμετέρου βίου πρὸς εὐδαιμονίαν ἐξεταζομένου,

διάγομεν χαλεπῶς καὶ ταλαιπώρως, πρὸς δὲ τὴν κακοδαιμονίαν οὐ μεμπτῶς, ἀλλὰ αὐτάρκως καὶ καλῶς. καὶ ὅτι ἕνα μὲν ξένον τῶν πρώτων, οἷος ἂν πατρῷος εἴη, μηδαμῶς βουλοίμην ἀποπέμπειν κενὸν, πολλοὺς δέ τινας προσδέχεσθαι οὐκ ἂν δυναίμην. γράφεται γὰρ ἐνιαχῆ) ξένια δ᾽ πλεόνεσσ᾽ οὐ.

523. οὐ σε ματίην.) ἔπαινος πλούτου. ἔντιμος, φησὶν, ὁ πλοῦτος παρὰ πᾶσιν ἀνθρώποις ἐστὶ καὶ εὔλογόν γε τοῦτο. ῥᾷστα γὰρ οἱ πλουτοῦντες φέρουσι τὰς δυσχερείας τοῦ βίου. ἡ κακότης γὰρ ἐνταῦθα τὰ λυπηρὰ τοῦ βίου δηλοῖ, ὡς καὶ παρ᾽ ἡσιόδῳ. (a)

αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσι.

525. Καὶ γάρ τοι.) αἰτιολογικῶς ἐπήνεγκεν, ὅτι τὸ ἔχειν, ἢ ὡς ἐν ἄλλοις, ὁ ἔχων πλοῦτον, ἤγουν τὸ πλουτεῖν καὶ ὁ πλούσιος, ἔοικε καὶ ὁμοιοῦται τοῖς ἀγαθοῖς. τὸ γὰρ πλουτεῖν, ἀγαθὸν εἶναι νομίζεται· καὶ τῷ πλούτῳ, καθ᾽ ἡσίοδον, (a) ἀρετὴ καὶ κῦδος ὀπηδεῖ. ἡ δὲ πενίη δόξαν ἔχει, ὅτι πάροικός ἐστι κακῶν. τοῦτο γὰρ βούλεται, τὸ σύμφορος φέρειν ἀνδρὶ κακῷ. ὡς καὶ ἡσίοδος, (b)

λιμὸς γάρ τοι πάμπαν ἀεργῷ σύμφορος ἀνδρί.

ἤγουν, ὁ λιμὸς πάντως παρέπεται τοῖς ἀεργοῖς. καὶ ἡ πενίη κακοδόξους ποιεῖσθαι εἴωθε. σύμφορος ἄρα εἰς τὸ φέρειν τῷ κακῷ ἡ πενία, τουτέστι, συμπερίφορος καὶ συνακόλουθος.

527. οἴμοι ἐγώ.) σχετλιαστικὸν, ὅτι βραχὺ καὶ ἀστάθμητον τὸ τερπνὸν καὶ ἱλαρῶδες τοῦ βίου, καὶ τὸ ἐν αὐτῷ θα-

λεγὸν καὶ ἡδὺ, ὅτι τάχιστα ἀφανίζεται. οἰμώζω, φησὶν, ἐπὶ φυγῇ τῆς ἀκμῆς καὶ ὥρας σώματος, καὶ ἐφόδῳ τοῦ ἐχθίστου καὶ θανατηφόρου γήρως. ἀντὶ δὲ τοῦ, ἀπαντησαμένης, εἴρηται ἑτερόθι ἐπιούσης.

529. οὔτι τινὰ.) καυχητικὸν τοῦτο, καὶ ἐπιδεικτικὸν πιστότητος. τὸ δὲ δούλιον, ἀντὶ τοῦ δόλιον, ἤγουν δολερὸν, κατὰ ἐπένθεσιν ἐκτατικήν.

531. Αἰεί μοι φίλον ἦτορ ἰαίνεται.) κατὰ τὰ ὁμηρικὰ, (a)

οὐ γάρ ἐγώγε τί φημι τέλος χαριέστερον εἶναι,
ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα,
δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζωνται ἀοιδοῦ
ἥμενοι ἑξείης, παρὰ δὲ πλήθωσι τράπεζαι
σίτου καὶ κρειῶν, μέθυ δ' ἐκ κρητῆρος ἀφύσσων
οἰνοχόος φορέῃσι, καὶ ἐγχείῃ δεπάεσσιν.

οἷς παρακολουθῶν (b) ἐπίκουρος, τῆς πολυθρυλλήτου ἡδονῆς εἰσηγητὴς γενέσθαι δοκεῖ. τὸ δ' ἰαίνεται, διαχεῖται μεθ' ἡδονῆς, ἤγουν εὐφραίνεται. εὔφθογγον δὲ λύραν, τὴν εὔφωνον κιθάραν εἶπε.

535. Οὔ ποτε δουλείη.) τοῦτο λέγει, ὅτι καὶ τὰ σώματα ἡ φύσις διάφορα ποιεῖν βούλεται, ὥσπερ τὰς ψυχὰς τῶν ἀνθρώπων, τῶν μὲν ἐλευθέρων ὀρθὰ καὶ χρήσιμα πρὸς βίον πολιτικὸν, τῶν δὲ δούλων ἰσχυρὰ πρὸς ἀναγκαίαν χρῆσιν. συμβαίνει δὲ ὅμως καὶ τοὐναντίον, τοὺς μὲν τὰ σώματα ἔχειν ἐλευθέρων, τοὺς δὲ τὰς ψυχὰς, καθάπερ φησὶν (a) ἀριστοτέλης. ἔστιν ἄρα ἡ γνώμη τῶν ὡς ἐπὶ τὸ πλεῖστον συμβαινόντων.

539. ὅτις ἀνὴρ.) εἰ μὴ παντάπασί, φησι, σφαλλόμενος τῇ διανοίᾳ, οὐκ ἂν εἴη, ὅστις ἑκὼν περιϊστάναι βούλοιτο κακὸν εἰς ἑαυτόν. ἔστι δέ πως σύμφωνον τὸ λεγόμενον ταῖς πλατωνικαῖς διαλέξεσι περὶ τοῦ (a) οὐδεὶς ἑκὼν πονηρός. οὐδὲν ἄρα διαπράττονται οἱ ἄνθρωποι ἐπ' ἰδίαις συμφοραῖς, καὶ τῷ ἑαυτῶν ὀλέθρῳ· οὕτω δὴ νοήσαντες, ὅτι κακῶς ἑαυτοὺς διαθέσθαι ἐθέλουσιν. ὁ γὰρ καὶ τιμωρούμενος ἑαυτὸν ἐν (b) κωμῳδίᾳ, καὶ ὁ ἀνελὼν (c) ἐν τραγῳδίᾳ, οὕτω ποιεῖ, ὑπηρετῶν τῇ δόξῃ, ὅτι δέον ἐστὶ γενέσθαι ταῦτα. τὸ δὲ δέον δηλονότι ἐπὶ τὸ ἀγαθὸν ἀναφέρεται.

541. Δειμαίνω.) οἱ κένταυροι ὕβρει καὶ παροινίᾳ προαχθέντες εἰς μανίαν, ἀπώλοντο. ὁ δὲ παρ' ὁμήρῳ ἀντίνοος, (a) ὀδ. φ. τῆς τῆς ἀπωλείας ἀρχὴν ἐπὶ τὸν εὐρυτίωνα ἀναφέρει,

—— ὃς ἐπεὶ φρένας ἄασεν οἴνῳ
μαινόμενος κάκ' ἔρεξε δόμον κατὰ πειρίθοοιο. καὶ ἑξῆς,
ἐξ οὗ κενταύροισι καὶ ἀνδράσι νεῖκος ἐτύχθη. εἴρηκε δὲ

ὠμοφάγους τοὺς κενταύρους, οἷον θηριώδεις. καὶ φῆρας (b) παρ' ὁμήρῳ βούλονται θῆρας εἶναι, κατὰ μεταστοιχείωσιν.

543. χρὴ μὲ παρά.) χρή, φησιν, ὦ Κύρνε, σταθμώσασθαι καὶ διαγνῶναι περὶ τῆς προκειμένης δίκης, καὶ ἴσα νέμειν ἐμὲ τοῖς τε ἀπ' οἰωνῶν καὶ τοῖς ἐκ τῶν ἱερείων μαντευομένοις. ἵνα μὴ ὀνειδισθῶ ὡς ἁμαρτὼν τοῦ ἀληθοῦς.

547. Μηδένα πω.) ἀπαγορευτικὸν βίας καὶ ἀδικίας, καὶ ὑποθετικὸν τοῦ εὐποιεῖν καὶ δικαιοπραγεῖν. ὁ νοῦς· μὴ

γίνου

γίνε βιαστὴς ἄδικος, μηδὲ προσοίσῃ βίαν τινὶ κακοεργῶς. μηδὲ τοὺς ἐν κακοῖς κειμένους προπηλάκιζε, καὶ βλάπτε, ἀλλὰ σπούδαζε τὸν εὐεργετεῖν τοὺς ἀνθρώπους. τοῦτο γὰρ κάλλιστον ἔργον τῆς δικαιοσύνης. σημειωτέον δὲ τὸ δεξιόπισον. δεξιῶν γὰρ λέγεται, ὡς ἀμείνων καὶ βελτίων. μεταπέπλασται γοῦν τὸ συγκριτικόν.

549. Ἄγγελος ἀφθ.) πρὸς ἀνδρείαν ἐποτρύνει τραπέσθαι τῶν ἑταίρων, καλούσης κοινῆς χρείας. ὁ δὲ νοῦς· ἄφθογγος ἄγγελος, ἡ φρυκτωρία μεταφορικῶς, ἀγγέλλουσα μὲν πρόσοδον πολεμίων, ἄνευ φωνῆς δέ. ἔθος δὲ ἦν ἀπὸ τῶν πύργων καὶ ὀρεινῶν τόπων σημεῖα διὰ πυρός τοιαῦτα παρασκευάζεσθαι, καὶ αὗται (a) φρυκτωρίαι ἐκλήθησαν, καὶ φρυκτωρεῖν τὸ σημαίνειν ἔφοδον πολεμίων. ἐπερχομένων οὖν, φησι, τῶν πολεμίων, τῷ τε ἵππῳ ἐπιβαίνειν καὶ ἀμύνεσθαι τῇ πατρίδι καιρός. οὐ γὰρ μακρὰν που ἄπεισιν οἱ πολέμιοι. καὶ οὐ πολλὴν ὁδὸν πορεύσονται διανύσαντες οἱ ἵπποι, ὅτι τοῖς πολεμίοις ἐντυχήσουσι, εἰ μὴ τῆς γνώμης πάντως ἁμαρτάνω. τὸ ὠκυπτερύγεσσι, (b) μεταφορικὸν, ἀπὸ τῆς τῶν ὀρνέων πτερώσεως, δι᾽ ἧς τὸ ὠκὺ δείκνυται δρόμου ἱππικοῦ. ἐν ἄλλοις δὲ, ταχυπτέρνοις, ἤγουν ταχύποσιν, ἁπλῶς. ὠκύδρομος γὰρ ὁ ἵππος.

555. Χρὴ τολ.) ὑποθῆκαι εὐσεβοῦς ἀνεξικακίας.

557. Φράζεο κινδ.) ὅτι τὸ μέσον ἄριστον, κἀνταῦθα ἀπεφήνατο. καὶ ὄντος ἐπικινδύνου τοῦ φυλάξαι αὐτὸ, παρακελεύεται διὰ τοῦτο φράζεσθαι καὶ σκέπτεσθαι. καὶ

ἐγκρα-

ἐγκρατῆ εἶναι αὐτὸν αὐτοῦ πάντοτε. ἡ δὲ παροιμία, ὁμηρική, Ἰλ. κ. (a)

νῦν γὰρ δὴ πάντεσσιν ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς,
ἢ μάλα λυγρὸς ὄλεθρος ἀχαιοῖς, ἠὲ βιῶναι.

ὀξεῖα φησὶ ῥοπὴ καὶ ἐπικίνδυνος τοῦ καιροῦ. πρόσεχε τοίνυν τὸν νοῦν, ὥστε μὴ σφαλῇς, οὔτε τῆς τύχης εὖ παρεχούσης, οὔτε παραγενομένων δυσχερειῶν τινῶν. ἄριστον δὲ ἐν τῷ βίῳ, (b) μήτε πλούσιον ἄγαν γίνεσθαι, μήτε πένητα.

561. Εἴη μοι.) εὔχεται τὰ τῶν ἐχθρῶν αὐτοῦ γίνεσθαι, ὥστε καὶ κατέχειν, καὶ μεταδοῦναι τοῖς φίλοις.

563. Κεκλῆσθαι δ' ἐς.) ἀποτομώτερόν πως ἐμπέπλεκται ταῦτα, ὥστε ὑπόνοιαν εἶναι λείπειν τι ἐνταῦθα. ὁ δὲ νοῦς ὅμως φανερός. χρὴ κεκλῆσθαι εἰς δαῖτα, καὶ παρέζεσθαι τοῖς ἐσθλοῖς· ἤγουν κεκλημένον σε εἰς δαῖτα χρεών ἐστι ὁμιλίαν ζητεῖν τῶν ἐσθλῶν καὶ σοφῶν, ὑφ' ὧν ἀγαθόν τι μάθοις ἄν, κατὰ τὰ πρότερον (a) ῥηθέντα, ἀλλ' ἀεὶ τῶν ἀγαθῶν ἔχεο.

567. Ἥβῃ τερπόμενος.) συμφωνεῖ πως ταῦτα τοῖς σαρδαναπαλείοις,

εὖ εἰδὼς ὅτι θνητὸς ἔφυς, σὸν θυμὸν ἄεξε
τερπόμενος θαλίῃσι, θανόντι σοι οὔ τις ὄνησις.

καὶ τοῖς λοιποῖς, ἐκκειμένοις παρ' ἀθηναίῳ ἐν τῇ ὀγδόῃ (a) τῶν δειπνοσοφιστῶν, ὅπου καὶ κωμικοῦ τινος ἰαμβεῖα ἐξέθηκε τάδε,

πᾶσιν δὲ θνητοῖς βούλομαι παραινέσαι,
εὐφημερεῖν ζῆν ἡδέως. ὁ γὰρ θανὼν

e τὸ μη-

τὸ μηδὲν ἐστι, καὶ σκιὰ κατὰ χθονός.
μικροῦ δὲ βιότου ζῶντ' ἐπαυρέσθαι χρέων.

ἐν δὲ τῇ (b) ιβ'. ὁ ἀθηναῖος αὖθις τοῦ σαρδαναπάλου μνησθεὶς, καὶ ὅμοιά τινα διηγήσατο περὶ τοῦ νίνου. ὁ δὲ νοῦς σαφής.

571. Δόξα μὲν ἀν.) τὸ δίστιχον τὴν οἴησιν ἢ δόκησιν ἀναστέλλει. ὥστε παραδεκτέον κατὰ τῆς κενοδοξίας, ἐπιπολαζούσης ἐν τῷ βίῳ, καὶ φέρεται τοῦ τίμωνος (a) τόδε,

ἄνθρωποι κενεῆς οἰήσιος ἔμπλεῳ ἀσκοί.

Φησὶ δὲ, ὅτι τὸ δοκεῖν ἔχειν, κακὸν· τὸ δὲ πείρᾳ καταλαμβάνειν, ἀγαθόν. καίτοι πολλῶν κενῇ δόξῃ ἐμφιλοχωρούντων.

573. εὖ ἔρδων εὖ πε.) παρακέλευσις πρὸς τὸ εὐποιεῖν. ὁ γὰρ εὖ ἔρδων ἄλλους, φησὶ, καὶ εὖ πράξειεν ἂν εὐεργετηθεὶς, κατὰ τὸ, (φίλοις ἐπαρκῶν τῶν ἴσων τεύξῃ ποτέ.) ἃ δὲ ἔπαθον οἱ ἄνθρωποι ἤτοι εὖ ἢ κακῶς, ἐκεῖνα καὶ λόγοις ἐμφανίζειν καὶ κηρύσσειν εἰώθασι. τὸ ἰάλλεις, ἑτοιμάζεις, ἢ προτίθης.

575. οἱ μὲ φίλοι.) μέμφεται ὁ ποιητὴς τοῖς βουλομένοις ἀνάγκην προσφέρειν τοῖς φίλοις, ὥστε ἀγαπᾶν καὶ μισεῖν οὓς ἂν αὐτοὶ ἐθέλωσιν. ἐγώ, φησιν, ἐπειδὴ φεύγω μὴ προσκροῦσαι τοῖς ἐχθροῖς, ἀπολείπομαι ὑπὸ φίλων. χοιράδες δ' εἰνάλιαι, εἰσὶν αἱ θαλάσσιαι καὶ ὕφαλοι σκοπελοί.

577. Ῥήδιον ἐξ ἀγαθοῦ θεῖναι κακὸν, ἢ ἐκ κακοῦ ἐσθλόν.) ῥᾴων, φησίν, ἐστι καὶ κατάντης ἡ μεταβολὴ ἡ ἐξ ἀγαθοῦ

εἰς

εἰς τὸ κακὸν· δυσχερὴς δὲ καὶ προσάντης, ἡ ἐκ τοῦ κακοῦ εἰς τἀγαθόν. καὶ ἐπιφέρει γνώμην ἀποκρουστικὴν ἀκαίρου παραινέσεως. αὐτὸν γάρ τοι λέγει συνιέναι, καὶ οὐκ ἔχειν χρείαν τοῦ διδάσκοντος. τὸ δὲ ἢ ἐκ κακοῦ, ἢ ἐκ κακοῦ.

579. Εχθαίρω κακὸν.) εἴπομεν (a) πρότερον, ὅτι ἐκ διαφόρων ποιημάτων συνεσκευάσθη τὸ βιβλίον. ἔστι τοίνυν καὶ τοῦτο ἀπόσπασμά τι, οὐκ εὖ οἶδ' ὅθεν, μεμψεώς τινος γυναικείας περὶ τοῦ μὴ καθαρῶς φιλοῦντος. ὃν καὶ αὐτή φησι παρέρχεσθαι, καὶ ἐν οὐδενὶ θέσθαι λόγῳ, ἀλλὰ κούφως καὶ ταχέως ἀναπταμένην παραμείψεσθαι ἐθέλειν, δίκην ὀρνιθίου μικροῦ καὶ εὐπετοῦς.

581. Εχθαίρω δὲ γυναῖκα.) ξυλλαβὼν ἀμφοτέρας φύσεως, τὸ αἰσχρὸν ἀπεδίωξεν ἐνταῦθα. τὸ δὲ ἀροῦν ἀλλοτρίαν ἄρουραν, εὐσχήμως μεταφέρων (a) ἠνίξατο διὰ τούτου τὰς μοιχείας.

583. Αλλὰ τὰ μὲν.) παραίνεσις πολύχρηστος ἐν τῷ βίῳ. τὰ γὰρ πεπραγμένα οὔποτ' ἂν ἀποίητα γένοιτο. μάτην δὲ λυπεῖσθαι καὶ ἀδημονεῖν ἐπὶ τῶν ἀδυνάτως ἐχόντων ἀνακεκλῆσθαι, ἀνόητον. τὸ δὲ γεγενημένον οὐκέτ' ἀρ-ρεκτον, κατὰ (a) σιμωνίδην. λείπεται ἄρα τοῖς νοῦν ἔχουσι τῶν ἀνθρώπων, τὸ εἰς τὸ πρόσθεν βλέπειν, καὶ ὥσπερ ἐν πλώσει κύβων πρὸς τὰ πεπτωκότα θέσθαι τὰ πράγματα, κατὰ τὸν (b) πλάτωνα. καὶ μὴ εἶναι ἀκινήτους ἐν κακοῖς, οὐδὲ κεῖσθαι πεσόντας, ἀλλ' ἀκεῖσθαι θᾶσσον.

(c) ἀκεσταί τοι φρένες ἐσθλῶν. γράφεται δὲ ἐνταῦθα, ἀμήχανον ἔτ' ἐστὶ· ἢ ὡς ἐν ἄλλοις, ἀμήχανόν ἐστι.

585. Πᾶσίν τοι κίνδ.) λέγει, ὅτι τὸ μέλλον (a) ἀφανὲς ποῖ προβήσεται. καὶ ὅτι πολλ' ἀναστρέφει θεὸς, κατ' (b) εὐριπίδην. οὐδεὶς, φησὶν, ἐν ἀρχῇ τῆς πράξεων

ἔγνω τὴν ἔκβασιν καὶ τὸ τέλος.

ὥσπερ οἱ πλέοντες οὐκ οἴδασιν, εἰ ἐπὶ τὸν τόπον ἐνεχθήσεται ἡ ναῦς, εἰς ὃν ἐλπίς ἐστι παραγενέσθαι. τὸ σχήσειν, ναυτικὸν ῥῆμα. ἀριστοφάνης (c) βατράχοις, ποῦ σχήσειν δοκεῖς; τουτέστι ἐν τίνι λιμένι τὴν ναῦν ὑπὸ σοῦ οἴει καθορμισθήσεσθαι. ὅτι δὲ παρ' ἐλπίδα καὶ εὐτυχοῦσι καὶ δυστυχοῦσι πολλοὶ, μεμαρτύρηται πλείστοις καὶ λόγοις καὶ ἔργοις. περιτίθησι δὲ ἐνίοτε ὁ θεὸς τῷ κακῶς ποιοῦντι, ἤγουν πράττοντι κατὰ πάντα τὴν εὐτυχίαν, ἣν ἐκάλεσεν ἀγαθὴν συντυχίαν, ἤγουν τυχὴν χρηστὴν, παρ' ἣν, φησι, τῆς ἀφροσύνης ἀλλοτρίους δοκεῖν εἶναι τοὺς ἀνθρώπους. κρίνεται γὰρ σχεδὸν ἅπαντα κατὰ τὸ ἔσχατον ἔκβαν, ὥς φησι (d) δημοσθένης. γράφεται δὲ ἐν ἐνίοις, ἀντὶ τοῦ προνοήσας, προορήσας· καὶ ἀντὶ τοῦ ποιοῦντι, ἔρδοντι· καὶ ἀντὶ τοῦ τίθησι, δίδωσι. φέρεται δὲ καὶ ταῦτα ἐν τοῖς (e) σολωνείοις, καὶ γράφεται ἐν ἐνίοις,

τῷ δὲ καλῶν ποιοῦντι θεὸς καλὰ πάντα τίθησι.

591. Τολμᾶν χρὴ.) παραίνεσις τοῦ μετριοπαθεῖν ἐπ' ἀμφότερα. λέγει δὲ, ὡς καὶ πρότερον, δόσιν εἶναι τῶν τε κακῶν καὶ τῶν ἀγαθῶν. ἀναστέλλει δὲ τὴν κουφότητα

τῶν

τῶν φρενῶν, εὐθὺς ἤτοι ἀπογινωσκόντων ἡμῶν ἐν κακοῖς τὴν σωτηρίαν, ἢ ἐν ἀγαθοῖς ὑπερηφανέντων, καὶ μηδὲν ἔτι δεινὸν πείσεσθαι οἰομένων. καὶ καλῶς δὲ τὸ τέλος ὁρᾶν ἐν πᾶσιν. τοὺς τε γὰρ πεπτωκότας ἔσθ᾽ ὅτε ἀνορθοῖ ὁ θεὸς, καὶ ταχὺ τὸν εὐτυχῆ μετέβαλε δαίμων, φησὶν (a) εὐριπίδης. νοσῶν δὲ, ἀλγῶν καὶ ὀδυνώμενος.

595. Αἰθέρος. ἀλ.) ἐγράφη τάδε πρός τινα ἀηδῆ ὁμιλήτην, καὶ λέγει) περὶ ἐνίων, ὅτι διαμείναιεν ἂν φίλοι μάλιστα μακρὰν διαστάντες. εἰσὶ γάρ τινες τοῖς τρόποις ἀπληστότεροί πως, καὶ οἷοι ῥᾷστα προσκρούειν οἷς μάλιστα συγχρῶνται. ἐμπέπλεκται δ᾽ ἡ γνώμη, ἐμφαίνουσα, ὅτι καὶ οἱ φιλοῦντες κόρον λαμβάνουσί ποτε τῆς μετ᾽ ἀλλήλων συνηθείας, κατὰ τὸ ὁμηρικὸν, (a)

πάντων μὲν κόρος ἐστὶ, καὶ ὕπνου καὶ φιλότητος.

ἐξαίρει δ᾽ ὁ ποιητὴς τοῦ λόγου ἐνταῦθα τὸν πλοῦτον, ὃν πρόδηλός ἐστι θαυμάζων καὶ ὑπερεπαινῶν πανταχοῦ. χαπλέον γὰρ τὸ πεντάμετρον οὕτω,

πλὴν πλούτου παντὸς χρήματός ἐστι κόρος.

οὕτω ἐν τοῖς παλαιοῖς τῶν ἀντιγράφων ἐκκείμενον. χρῆμα δ᾽ ἰωνικῶς, πρᾶγμα νοητέον. καὶ ἑξῆς τῇ ἀποστροφῇ ἐμμένων· ὦμεν, φησὶ, καὶ διατελῶμεν δὴ φίλοι, ἀλλὰ σὺ ὅμως ὁμιλεῖν, τουτέστι συνεῖναι βούλοιο, ἄλλοις τισὶν, οἷς μᾶλλον γνώριμος ὁ τρόπος σου.

599. οὔ μ᾽ ἔλαθες.) ἢ ὡς ἐν ἄλλοις, οὐκ ἔλαθες. σχετλιαστικὰ ταῦτα, καὶ ἀποδιωκτικὰ ἀπατηλοῦ καὶ ἀπίστου τινὸς

παρεισδύεσθαι αὖθις σπουδάζοντος εἰς φιλίαν τοῦ ποιητοῦ. μεταφορικῶς καὶ εἴρηται πάντα κατὰ τῶν πλαστῶν καὶ ἐνεδρευτικῶν φίλων. ὁ δὲ νοῦς· εὖ κάτοιδά σε ἐπιόντα πρὸς ἡμᾶς, καὶ λαθεῖν βουλόμενον, ὥστε παρεισελθεῖν ἐπὶ τὴν φιλίαν ἡμῶν, καθάπερ πρότερον. ἀλλά σὺ ἄπαγε ἀπ' ἐμοῦ, ὃν τε μισεῖ ὁ θεὸς, καὶ ἀποστρέφονται οἱ ἄνθρωποι, ὡς τὸν ἰὸν ἐγκεκαλυμμένον φέρεις ἐν κόλπῳ δηλητόμενός θ' ἡμᾶς καὶ τὸ κέντρον ἐγχρίψων, ἢν τοῦ καιρὸν λάβῃς. τὸ ἠλάστρεις, ἤλαυνες.

603. Τοιάδε καὶ μάγν.) τοὺς κενταύρους τοὺς ἔχοντάς ποτε χώραν καλουμένην μαγνησίαν, ὁμοροῦσαν τῇ θεσσαλίᾳ καὶ μακεδονίᾳ. τάδε μυθολογούμενα περὶ τῶν κενταύρων πολυθρύλλητά τ' ἐστι, καὶ ἡμεῖς ἐν τοῖς (a) ἀνωτέρω ἐξηγήσεσιν ἐπεσημηνάμεθα. ὁ δὲ ἀθήναιος ἐν (b) τῇ ιβ. φησὶν, ὅτι οἱ πρὸς τῷ μαιάνδρῳ μάγνητες, διὰ τὸ πλέον ἀνεθῆναι ἑάλωσαν ὑπ' ἐφεσίων. καὶ τοῦτο εἰρηκέναι λέγει τὸν καλλῖνον ἐν ἐλεγείοις, καὶ ἀρχίλοχον. ἡ δὲ ἑπομένη γνώμη παρείληπται κατὰ τῆς ἀνθρωπίνης πλεονεξίας καὶ κακίας, ἐξυβριζούσης ἐν ταῖς ἐπιθυμίαις, καὶ οὐ δυναμένης στέργειν τοῖς παροῦσι, καὶ πρὸς τὰς δοκούσας εἶναι πλημμελείας ἀπλήστως ἐχούσης, κατ' (c) ἰσοκράτη. καὶ φέρεται μενάνδρου ἰαμβεῖα τάδε, (d)

πλεονεξία μέγιστον ἀνθρώποις κακόν.
οἱ γὰρ θέλοντες προσλαβεῖν τὰ τῶν πέλας,
ἀποτυγχάνουσι πολλάκις νικώμενοι,
τὰ δ' ἴδια προστιθέασι τοῖς ἀλλοτρίοις.

τὸ δὲ

τὸ δὲ, ὅσοι ἤθελον ἔχειν πλεῖον μοίρης, σημαίνει τοὺς πλεονέκτας, καὶ οὐκ ἀγαπῶντας τῇ τῶν ὑπαρχόντων μοίρᾳ, ἀλλ' ἀεὶ ὀρεγομένους τῶν πλειόνων.

607. Αρχὴ ἐπὶ ψεύδους.) πάντως φησὶ τὸ ψεῦδος καὶ αἰσχρόν ἐστι καὶ ἀλυσιτελές, κἂν δοκῇ τὸ πρῶτον κερδαλέον εἶναι καὶ ἐπίχαρι. τέλος γὰρ τὸ κέρδος ἅμα τοῦ αἰσχρὸν καὶ κακὸν, ἤγουν βλαβερὸν γίνεται, καὶ καλὸν δὴ οὐδὲ τὴν ἀρχὴν ψεῦδος ἂν εἴη. τὸ ἀμφότερον ἅμα, ὡς τὸ (a) ἀμφότερον βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής., κ' ἂν ἐξέλθῃ, κατ' ἔκθλιψιν τοῦ αι, ὥστε εἶναι τὴν συλλαβὴν βραχεῖαν. εἴρηται δὲ περὶ ψεύδους τάδε, βλαβεροῦ θ' ἅμα καὶ κακούργου. ἔσθ' ὅπου γὰρ ἐπαινεῖται τὸ θεραπευτικὸν. καὶ ὁ παρ' ἡροδότῳ δαρεῖος φησιν, (b) ἔνθα δεῖ τι ψεῦδος λέγεσθαι, λεγέσθω.

611. οὐ χαλεπὸν.) ψόγος ἐστὶν οὗτος τῆς δημώδους κουφονοίας κατηγορούσης τοὺς ἄλλους, καὶ τοῖς οἰκείοις ἐπαίνοις ἐνδιατριβούσης. οὐδὲν γὰρ τούτου εὐχερέστερον. ἀλλ' αὐτὸ ποιοῦσιν οἱ φαῦλοι τῶν ἀνθρώπων. χραπλέον, οὐδὲ μὲν αὐτὸν, δασέως, ὡς ἐν τοῖς παλαιοῖς ἀντιγράφοις εὑρίσκεται. ἑξῆς δέ φησι τοὺς φαύλους ἥττους εἶναι τῆς ἀδολεσχίας, τοὺς δ' ἐπιεικεῖς καιρὸν καὶ μέτρον ἐπίστασθαι καὶ φυλάττειν.

615. οὐδένα παμ.) δίστιχον ὑπερβολικῆς ἀγανακτήσεως. ἅπαξάπαντας γάρ φησιν εἶναι πονηροὺς καὶ ὑβριστάς. τὸ δὲ, ἥλιος καθορᾷ, παροιμιωδῶς, περὶ τῶν ἐν τῇ γῇ ζώντων, οὓς περιτελλόμενος ὁ ἥλιος (a) ἐφορᾷ πάν-

τας, ὡς εἰκός. παραλήψαιτο δ' ἄν τις ὀρθῶς κἀνταῦθα τὰ φερόμενα ὡς Σόλωνος (b) ᾧδε,

οὐδὲ μάκαρ οὐδεὶς πέλεται βροτὸς, ἀλλὰ πονηροὶ
πάντες, ὅσους θνητοὺς ἠέλιος καθορᾷ.

617. οὔ τι μάλ' ἄν.) ἀποφαίνεται τὸ δίστιχον, ὅτι οὐδεὶς τῶν ἀνθρώπων διὰ παντὸς εὐημερεῖ, ὡς καὶ ἐν τοῖς ἔμπροσθεν εἴρηται, (a)

οὐδείς τοι πάντ' ἐστὶ πανόλβιος, ——

οὐ γὰρ ὡς ἄνθρωποι βούλονται, οὕτω ἀποβαίνουσι τὰ πράγματα αὐτοῖς. ἀλλὰ θεοὶ πολλῷ κρείττονες ὑπάρχοντες κατὰ σφέτερον πάντα τελοῦσι νόον. κρατιστέον δὲ πολλῷ.

619. Πολλ' ἐν ἀμ.) μομφὴ τῆς οἰκείας τύχης. πένης εἰμί, φησιν, οὕτως, ὥστε μηδὲ ἄκρῳ τῷ ποδὶ ὑπερβῆναι τὴν πενίαν. διὰ τοῦτο καὶ ἀμηχανῶ καὶ λυποῦμαι, κατανοῶν ὅτι πλούσιοι τιμῶνται, καὶ πένητες τοὐναντίον ἐν ἀτιμίᾳ εἰσίν, ἔν τε τούτῳ ὁμοφρονοῦσιν ἅπαντες.

623. Παντοῖαι κακ.) λέγει, ὅτι ἐν τῷ ἀνθρωπίνῳ βίῳ πολλὰ μὲν κακὰ ἔνι, πολλὰ δὲ καὶ ἀγαθά. ὁ δὲ Θησεὺς ἐν ἱκετίσιν (a) Εὐριπίδου ἀποφαίνεται, τὰ ἀμείνω πλείω εἶναι τοῖς βροτοῖς τῶν χειρόνων. καὶ φέρεται ἐπιγράμματα ἀντίθετα περὶ τούτου, (b) Κράτητος καὶ Μητροδώρου. τὸ δὲ παλάμαι, ἐγχειρήσεις τεχνικαὶ, καὶ σοφία, ἢ μάλιστα διὰ τῶν χειρῶν, ὅτι ἐν ἀνθρώποις ἔνι, ἀποδέδεικται δεινῶ.

Ἀργα-

625. Αεγαλέον φρον.) ἐνδεικτικὸν τὸ δίστιχον τοῦ ἐν ταῖς συμποσίαις δυσχερῶς. τὸν γὰρ φρόνιμον παρὰ τοῖς ἄφροσιν, οὔτε λέγειν πολλὰ ὀρθῶς ἔχει, (a) οὔτε παντάπασι σιωπᾶν δυνατόν.

627. Αἰσχρὸν τοι.) παρακελεύεται τὸ δίστιχον, φυλάξασθαι τῶν ἀκαίρους ὁμιλίας, οἷαι ἂν γένοιντο μεθυσκομένων παρὰ νηφαλέοις, καὶ τοὐναντίον τούτων παρ' ἐκείνοις.

629. Ηβη καὶ νεότης.) ὅτι ἀκμαζόντων τῶν σωμάτων καὶ αἱ φρένες ὀξύτεραί εἰσιν, ἐστὶ καὶ τῷ ἡροδότῳ εἰρημένον ἐν θαλείᾳ. (a) αὐξανομένῳ γάρ, φησι, τῷ σώματι συναύξονται καὶ αἱ φρένες· γηράσκοντι δὲ, συγγηράσκουσι. ὅτι δὲ ταραχώδες καὶ θορυβοποιὸν ἡ νεότης, δείκνυται καὶ ἐν (b) τῇ ἱκετίσιν, ἐπειδὴ καὶ φιλότιμοί εἰσιν, καὶ φιλοπόλεμοι, καὶ ὑβρισταὶ, καὶ τὰ δίκαια ἐν ὑστέρῳ τοῦ κέρδους τιθέασιν οἱ νεανίαι.

631. ὧπερ μὴ.) οἱ μὴ κρατοῦντες ὀργῆς, πολλάκι βλάπτονται. ἀπρονόητον γὰρ ἡ ὀργὴ, κατὰ (a) ξενοφῶντα. διότι βλάβης εἶναι αἰτίαν αὐτὴν ἀεί πως ἀνάγκη. φέρεται δὲ καὶ παραινετικὸν ἀπόφθεγμα (b) περιάνδρου, ὀργῆς κρατεῖν. ὡς ὄντος τούτου οὐδαμῶς εὐχεροῦς· ὥστε καὶ ζητήσειεν ἄν τις ἴσως, εἰ ἀληθῶς εἴρηται πρὸς ἡρακλείτου. (c) ὅτι χαλεπώτερόν ἐστιν ἡδονῇ μάχεσθαι, ἢ θυμῷ. χόλος γὰρ, κατὰ τὸν ὁμηρικὸν ἀχιλλέα, (d)

— πολὺ γλυκίων μέλιτος καταλειβομένοιο
ἀνδρῶν ἐν στήθεσσιν ἀέξεται, ἠΰτε καπνός.

τὸ δὲ πεντάμετρον ἀδιόρθωτον, καὶ ἐν ἐνίοις ἐλλειπῶς ἐγκείμενον μετὰ τὴν ἀρχὴν, Κύρνε, ἐνταῦθ' ἄρα ἐμβαλεῖ τις, ὅτι ἂν ἁρμόζειν ὑπολήψεται. εἴη δ' ἂν οὕτω γράψαντα, Κύρνε τὲ καὶ οὐ πάντως ἁμαρτεῖν τῆς διορθώσεως.

633. Βουλεύου δὶς καὶ τρίς.) κατὰ τῆς ταχυβουλίας. λάβρον γὰρ ἄνδρα, τὸν σφοδρὸν καὶ ἀπερίσκεπτον, καὶ προπετῆ, εἴρηκεν. εἰρήκασι καὶ λάβρους (a) ἀνέμους, τοὺς τυφωνικοὺς καὶ ἐξαισίους. φέρεται δὲ περὶ τοῦ αὐτοῦ ἰαμβεῖά τινα τάδε, (b)

οὐ χρὴ ποδώκη τὸν τρόπον λίαν φέρειν·
σφαλεὶς γὰρ οὐδεὶς εὖ βεβουλεῦσθαι δοκεῖ.

ὁ δὲ ἀτηρὸς, εἴη ἂν τῆς ἄτης, ἤγουν βλάβης αἴτιος. πῶς δὲ ἐπαινεῖται τὸ Νεστόρειον; (c)

μηκέτι νῦν δηθ' αὖθι λεγώμεθα, μηδέ τι δηρὸν
ἀμβαλλώμεθα ἔργον, ὃ δὴ θεὸς ἐγγυαλίζει.

καὶ τούτῳ τῷ ἔπει (d) πειθόμενόν φασιν εἰπεῖν τὸν Ἀλέξανδρον, ὅτι οὕτω ὑφ' αὐτῷ τὴν Ἀσίαν ἐπεποίητο. λέγομεν δὲ, ὅτι οὐ νῦν παρῄνεσε περὶ τοῦ ἔργου, ἀλλὰ περὶ τῆς βουλῆς. ἐν τούτοις γὰρ ἡ εὐπραξία, εὐθὺ βουλευσαμένους ἔχεσθαι τοῦ ἔργου, καὶ μὴ ἀναβαλέσθαι τὴν ἐγχείρησιν. τῆς βουλῆς ἄρα τὸ βραδύτερον, τὸ δὲ ταχὺ τῶν ἔργων, ὃ καὶ ἐνέδειξεν ὁ ἀποφθεγξάμενος τὸ, (e) σπεῦδε βραδέως. καὶ Ἰσοκράτης φησὶ, (f) βουλεύου μὲν βραδέως, ἐπιτέλει δὲ ταχέως τὰ δόξαντα.

635. Ἀνδράσι τοῖς ἀγαθοῖς.) οἱ ἀγαθοί, φησιν, ἅμα τε φρόνιμοι καὶ ἐπιεικεῖς εἰσιν, ἀλλ' εἰσὶν ἐν τῷ νῦν χρόνῳ πάνυ ὀλίγοι. ἐν ἐνίοις τὸ δίστιχον οὕτως ἔγκειται·

οἱ νῦν ἐν πολλοῖς ἀτρεκέως ὀλίγοι.

Ἐλπὶς

637. Ελπὶς καὶ κίνδ.) ἐλπὶς καὶ φόβος ὁμοίως ταράσσουσι τὰς ἀνθρωπίνας φρένας. τὸν γὰρ κίνδυνον παρείληφεν ἐνταῦθα ἀντὶ τοῦ φόβου. ἐν κινδύνοις γὰρ δειμαίνουσιν οἱ ἄνθρωποι. γράφεται δ' ἐν ἐνίοις, ἐν ἀνθρώποισιν ὁμοῖα. ὅπερ εὖ ἔχειν δοκεῖ. ὡς τὸ, ἀρετὴ καλὸν, κακία αἰσχρόν.

641. οὔτοι κήδει ὅ εἰς.) πάντως ἂν καὶ ταῦτα ἐν τοῖς ὑπὸ τῶν ἀντιγραφέων λελωβημένοις θείη τις. καὶ ἔνδειξις ἡ σαφής. τὸ ἀμυδρὸν καὶ διερρυηκὸς τῶν συλλαβῶν ἔν τισιν. ἐν ἐνὶ γὰρ, ἀντιτύχοι, εὑρηται. εἴη δὲ οὐκ ἐκ τῶν ἐόντων τὸν νοῦν ὑπολαμβάνειν εἶναι τόνδε· οὐδεὶς πω λύπην ἐπιφέρει ἑτέρῳ, ἤτοι εὔνῳ ἢ δύσνῳ ὑπάρχοντι, ἣν μὴ τύχοι ἀντὶ τῆς ἐπιχειρήσεως μεγάλου τινός. ἐκ γὰρ μιᾶς τῶν χαρακτήρων διαθέσεως, ὧν τετυχήκαμεν βιβλίων ὑπῆλθεν ἡμᾶς ὑπόνοια, ἀληθὲς ἴσως εἶναι, οὔτοι κηδεύσειν, ἤγουν οὔποτε λυπήσειν τινὰ τῶν τε φίλων καὶ τῶν ἐχθρῶν, ἐπὶ φαύλῳ πράγματι, ἀλλ' ἢν μέγα τι συμβαίνη ποθέν. ἀλλ' οὐ γὰρ ἀρέσκει μάλ' ἡμῖν οὐδὲ ταῦτα. ἐν μέσῳ καταλείπωμεν τὴν εἰσέτι περὶ τοῦ χωρίου ζήτησιν.

643. Πολλοὶ πάρ.) ὅμοιον τοῖς (a) πρότερον, πολλοί τοι πιστοὶ καὶ βεβαῖοί εἰσιν ἑταῖροι, ὅπου καὶ τὸ αὐτὸ πεντάμετρον ἔκκειται. προστίθησι δ' ἐνταῦθα, ὅτι ἐν δυστυχίαις καὶ κακοπραγίᾳ οὐχ εὑρίσκονται πολλοὶ διαφυλάττοντες τὴν τῆς φιλίας πίστιν. τὸ γὰρ (b) δυστυχὲς ἄφιλον. καὶ τοῖς πολλοῖς (βροτῶν ἄπιστος ἡ δ' ἐπιεικείας λιμήν) κατὰ τὸν Σοφοκλέους αἰνίγματα. (c)

Ηδη

647. Ἤδη νῦν.) αἴσχον ἀγανακτητικὸν διὰ τὴν ἀναίσχυντον τόλμαν τῆς κακίας, κατεχούσης ὅλον τὸν ἀνθρώπινον βίον. εἴρηται δὲ ταῦτα καὶ πρότερον, (a) αἰδὼς μὲν γὰρ ὄλωλε. φεῦ φησιν, ὅτι ἐν ἁπάσῃ ἤδη τῇ γῇ, τὴν αἰδῶ ἡ ἀναιδεία κατεσπάζει, κατὰ τὸν ἡσίοδον. (b)

649. Ἆ δειλὴ πενίη.) σχετλιασμὸς κατὰ τῆς πενίας. ὅτι δὲ ἐν τῇ ἀπορίᾳ ἀνάγκη τῆς κακίας, ὁ πλούταρχος (a) εἴρηκε. καὶ ξενοφῶν φησὶν, ὅτι ἡ πενία πρὸς τὰ αἰσχρὰ ἄγει. ἐν τῇ τῶν ἀθηναίων πολιτείᾳ. (b) γράφεται δὲ ἐνίοθι, τί ἐμοῖς ἐπικειμένη ὤμ.

653. Εὐδαίμων εἴην.) δημοτικὴ εὐχή. τί γὰρ ὄφελος ἀρετῆς, εἰ ἄνευ ταύτης ἐξείη εὐδαιμονίαν, καὶ τὴν θείαν εὔνοιαν κτήσασθαι;

655. Σὺν σοὶ Κύρν.) σημειωτέον, ὅτι ἐν τῷ ἀνιώμεσθα συνέστειλε τὸ ι. τὸ δὲ ἐν τῷ πεντάμετρῳ γνωμικὸν συνάδει τῷ πινδαρικῷ, (a) νεμέων ά.

> τὸ γὰρ οἰκεῖον πιέζει, εὐθὺς δ' ἀπήμων
> καρδία κᾶδος ἀμφ' ἀλλότριον.

τὸ περὶ ἄλλων φησὶ, κῆδος, ἤγουν λύπη, οὐ μακρὸν διαρκεῖ χρόνον. (b)

657. Μηδὲν ἄγαν.) παραίνεσις μετριότητος καὶ μεγαλοφροσύνης ἐπ' ἀμφότερα τὰ τῆς τύχης συμπτώματα. μὴ, φησιν, δυσφορηθῇς ἐπὶ ταῖς δυστυχίαις, καὶ ἀχθεσθῇς λίαν, μηδὲ ἐπὶ ταῖς εὐτυχίαις ἡδονῇ ἐπαρθῇς. ἔστι μὲν οὖν ἀνδρείας, τὰ λυπηρὰ ἐνεγκεῖν εὐρώστως, καὶ τοῖς δεινοῖς μὴ περιτρέπεσθαι, οὐχ ἧττον δὲ θαυμάζονται

καὶ οἱ

καὶ οἱ τὰς δυσημερίας μετρίως φέροντες. ὅθεν καὶ ὁ ξενοφῶν ἐν τῇ ὀγδόῃ τῆς κύρου παιδείας (a) φησὶ, χαλεπώτερον εὑρεῖν ἄνδρα τἀγαθὰ καλῶς φέροντα, ἢ τὰ κακά. τὰ μὲν γὰρ ὕβριν τοῖς πολλοῖς, τὰ δὲ σωφροσύνην τοῖς πᾶσιν ἐμποιεῖ. τὸ δὲ ἀσῶ, ἐκ τοῦ ἀσῶμαι, ὃ ἀπὸ τῆς ἄσης τῆς δυσφορίας καὶ δυσχεράνσεως, ἰωνικὸν καὶ (b) ἱπποκράτειον, σημαίνει τὸ ἐπαχθῶς διατίθου· τουτέστι λυπηρῶς καὶ ἐπωδυνίως διάκεισο κατὰ τὴν φρένα.

659. οὐδ' ὀμόσαι χρὴ τοῦθ' ὅτι μή.) ὅτι τὰ ἀνθρώπινα ἀβέβαια, καὶ (a) τὸ μέλλον ἄδηλον, λέγει. ὡς καὶ ἡσίοδος, (b)

> ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ.

καὶ ὁ πίνδαρος, ἄλλοτε δὲ ἀλλοῖαι πνοαὶ ὑψιπετᾶν ἀνέμων, (c) πυθίων γ'. καὶ (d) ὀλυμπίων ζ'. ἐν δὲ μιᾷ μοίρᾳ χρόνου, ἄλλοτε ἀλλοῖαι διαθύσσουσιν αὖραι. καὶ σοφοκλῆς φιλοκτήτῃ, (e)

> ὡς πάντα δεινὰ κἀπικινδύνως βροτοῖς
> κεῖται, παθεῖν μὲν, εὖ παθεῖν δὲ θάτερα.

καὶ εὐριπίδης ὀρέστῃ (f) φησὶν, ὅτι βροτῶν πᾶς ἀστάθμητος αἰών. τίς οὖν ἂν διϊσχυρίσαιτ' ἂν ἐπομοσάμενος, ὅτι τοῦθ' οὕτως γενήσεται, πάντων τῶν μελλόντων ἀφανῶν καὶ ἀτεκμάρτων ὑπαρχόντων; μαίνοιτ' ἄρ' ἂν ὁ τοιοῦτος. γράφεται δὲ ἐν ἐνίοις, θεοὶ γάρ τοι νεμεσῶσι. τὸ δὲ νεμεσᾶν, ἀγανακτεῖν καὶ βαρέως φέρειν. ὁ δὲ νοῦς· μὴ διϊσχυρίσῃ ποτὲ περὶ πράγματος ὅτου οὖν, ὅτι τοιόνδε ἢ τοιόνδε ἔσται. ἐπὶ γὰρ τῷ θεῷ τὸ τέλος ἁπάντων ὄν

τος

τος, ἡ τοιαύτη περίνοια μισητὴ γίνεται τῷ θεῷ, καὶ ἐγένετο δῆτα, ἤγουν συνέβαινέν τινι οὕτως, ὥστε πρᾶξαι ἀγαθόν τι ἀπὸ τοῦ κακοῦ, καὶ τοὐναντίον κακὸν ἀπ' ἀγαθοῦ. ὡς δ' αὕτως ἐπλούτησεν ἔσθ' ὅτε ὁ πένης. καὶ ὁ πολλὰ κεκτημένος, ἢ ὁ πολυπάμμων (g) καθ' ὅμηρον, παραχρῆμα διὰ μιᾶς νυκτὸς ἄπορος γινόμενος, ἀπέβαλε πάντα. καὶ ὁ μὲν φρόνιμος πολλάκις οὐδαμῶς ἠδυνήθη κατορθῶσαι, ὁ δ' ἀνόητος παραυτίκα εὐδοκίμησεν, καὶ τιμῆς τετύχηκε, οὐτιδανὸς καὶ φαῦλος ὤν. γράφεται ἐν ἐνίοις·

πάντα γέ τ' ἐξαπίνης ὤλεσε νυκτὶ μιᾷ.

667. Εἰ μὲν χρήματ' ἔχ.) τῷ σιμωνίδῃ προσπεφώνηται τὸ ἐλεγεῖον. ἔχει δὲ προσθήκην αἰνιγματώδη περὶ τῶν ἀλόγως παρ' αὐτοῖς ἐν τοῖς πολιτικοῖς γινομένοις, ἐξ ὧν καὶ οὐδὲν χρηστὸν ὁ ποιητὴς μαντεύεται. ἡ δ' ἀρχὴ σχετλιαστική, ὅτι ἀπαρρησίαστον τὸ ἀχρήματον. ὁ δὲ νοῦς ἀσαφής πως. τοῦτ' ἐθέλει δὲ λέγειν, εἰ τὰ χρήματα ἔχοιμι, ἅ τινά μοι γνώριμά ἐστιν ὅπου κεῖται, ἢ τόσα ὅση ἐστὶν ἡ ἐμὴ ἐπιστήμη καὶ σοφία. οὕτω γάρ φησιν, ἄνευ δέους καὶ λύπης συνεῖναι ἠδυνάμην ἂν τοῖς πρωτεύουσιν δι' ἀρετήν. νῦν δέ, ἤτοι γινώσκοντα καὶ εἰδότα, ὅπου τὰ χρήματα κεῖται, ἢ ἔμπειρον καὶ πολυμαθῆ μᾶλλον ἤπερ εἰσὶν ἕτεροι, ταῦθ' ὅμως παρέρχεται ἡμᾶς, φοιτῶντα δηλαδὴ πρὸς ἄλλους. διὰ τοῦτο καὶ σιωπᾶν ἀναγκάζομαι, καίπερ ἐπιστάμενος, κάλλιον περὶ ὧν ὁ λόγος, τῶν διὰ πλοῦτον παρρησιαζομένων ἀνέδην.

67 ι. ἕνεκα νεῶν.) Διὰ ταῦτ' ἄρα ἡ γνοὺς μᾶλλον ἤπερ τις ἕτερος, ὅτι καὶ πάντα παρ' ἡμῖν ἄνω κάτω πλανώμενα ἐν κινδύνοις αὐθαιρέτοις φέρεται, ὥσπερ πλοῖον ἐν νυκτερινῷ χειμῶνι καθαιρεθέντων ἤδη τῶν ἱστίων διὰ πελάγους τραχέος καὶ περιηχέος, οἷον τὸ μεταξὺ τῶν Κυκλάδων νήσων καλουμένων, ὧν μία καὶ Μῆλος. οὗ καὶ γέμοντος θαλάσσης ἤδη καὶ βυθιζομένου, ἤ τις χαλεπῶς σώζεται, τουτέστιν, οὗ συμβάντος ὁ ὄλεθρος πρόυπτος, οὐδεὶς ὅμως φροντίζει τοῦ μὴ περιτρέπεσθαι τὸ σκάφος. καὶ γίνεται ἀργῶς καὶ ὀλιγόρως ἅπαντα, ἄλλων μὲν ᾀδόντων, ἄλλων δὲ τὸν ἐντεχνέστατον κυβερνήτην παυόντων τῆς ἀρχῆς. ἁρπαγμοὶ δὲ ἀκόσμως γίνονται, καὶ ἐπιεικῶς οὐδ' ὁτιοῦν, τὰ δ' ἄκρα τῆς νεὼς καὶ τὰ κῦρος κατειλήφασιν ἄνθρωποι πονηροὶ καὶ ἀνδραποδώδεις. οἱ δὲ κακοὶ νικῶσι τοὺς ἀγαθούς. διὰ τοῦτο δέδοικα, μή πως καταποθῇ ὑπὸ κυμάτων ἡ ναῦς. σαφῆ δὲ τὰ ἀλληγορηθέντα, περὶ ἀκαταστασίας καὶ συγχύσεως τῶν πολιτικῶν μεταχειρήσεων. ἐκέχρητο καὶ ὁ Πλάτων τῇ εἰκόνι, δηλώσων ὅτι οὐ θαυμαστὸν μὴ τιμᾶσθαι, καὶ μᾶλλον ἀχρήστους εἶναι δοκεῖν ἐν ταῖς πόλεσιν τοὺς ἐπιεικῶς φιλοσοφοῦντας, ἐν τῇ ϛ' τῆς πολιτείας.(a)

68 ι. Ταῦτά μοι ᾐνίχθω.) ταῦτα μοί, φησιν, ἐν αἰνίγματι εἰρήσθω πρὸς τοὺς ἀγαθούς, κεκρυμμένως, ἤγουν ἀσαφέστερον τῇ φράσει. τὸν δὲ σοφὸν ὄντα οὐ μὴ λάθοι τόθ' ὁ κακός. ἢ καὶ τὸ κακόν. εὐμαθὴς γὰρ καὶ προνοητικὴ ἡ σοφία.

Πολ.

683. Πολλοὶ πλοῦτ' ἔχ.) λέγει, ὅτι παρ' ἀξίαν οἱ εὐτυχοῦντες, ὁμοίως δὲ καὶ δυστυχοῦντες, οὐδὲν πράττουσι πολλάκις τῶν δεόντων, ὅτι ἤτοι βουλόμενοι ἀδυνατοῦσιν, ἢ δυνάμενοι οὐ βούλονται. οἱ δὲ αἴσθησις εἰπὼν οἱ ἄφρονες, καὶ ἀνεπιστήμονες, καὶ ἀπαίδευτοι. ἕτεροι δὲ, οἱ τειρόμενοι τῇ πενίᾳ, τουτέστιν ἄποροι χρημάτων, ζητοῦσι τὰ καλὰ, ἤγουν ἐπιθυμοῦσι παιδείας καὶ μαθήσεως. καὶ ἐστὶ τοῦτο σχεδὸν τῶν περιφανῶς ἐν τῷ βίῳ γιγνωμένων ἀλόγως τε καὶ σκαιῶς. γράφεται δ' ἐν ἐνίοις, ἔργει σου μὲν δή.

687. οὐκ ἔστι.) ἀθέμιτόν φησι τοὺς ἀνθρώπους ἐρίζειν πρὸς τὸ θεῖον, ἢ διαδικάζεσθαι. τὸ δ' αἴτιον ἐν τοῖς ἄνω εἴρηται, (a)

πολλῷ γὰρ θνητῶν κρέσσονες ἀθάνατοι.

(b) ἄφρων δ' ὅς κ' ἐθέλοι πρὸς κρείσσονας ἀντιφερίζειν,
νίκης τε στέρεται, πρός τ' αἴσχεσιν ἄλγεα πάσχει.

689. οὐ χρὴ πημ.) παροιμιωδῶς εἴρηται, ὅτι περὶ τῶν ἀνωφελῶν οὐ σπουδαστέον, ἧττον δ' ἄρα περὶ τῶν βλαβερῶν, κατὰ τὸ Θεοκρίτειον, (a)

θρέψαι καὶ λυκιδεῖς, θρέψαι κύνας ὥστε φάγωντι.

τὸ δὲ πημαίνειν, καὶ φροντίζειν καὶ κήδεσθαι δηλοῖ. λανθάνει γάρ τις πολλάκις καὶ σωματοποιήσας, καὶ ὁπλίσας τινὰ καθ' ἑαυτοῦ. εἰ μὴ ἄρα γράπτέον, πημαίνειν, καὶ πημαντέον.

π691. Χαίρων σύ.) δίστιχον προπεμπτικὸν, καὶ εὐχὴ ὑπὲρ τοῦ πλεῖν βουλομένου. ἀγάγοι χάρμα φίλοις, ὥστε χαρῆναι σωθέντος τοῦ φίλου.

693. Πολλούς τοι κόρος.) κατὰ τὰ καὶ (a) πρότερον εἰρημένα, τῶν δ' ἀγαθῶν παρόντων, φησὶν, οὐ ῥᾴδιον καθορᾶν καὶ φυλάττειν τὸ μέτριον· τίκτει γὰρ κόρος ὕβριν. καὶ ταῖς εὐτυχίαις οὐ μόνον ῥαθυμία καὶ καταφρόνησις εἴωθεν ἀκολουθεῖν, ἀλλὰ καὶ ὑπερφρόνησις καὶ μεγαλόνοια. διὸ καὶ προσηκόντως, φησὶν ὁ δίδαρος, (b) ὑπολαμβάνειν ἐνίους, ὅτι εὐχερέστερον ὑπάρχει συμφορὰς ἐνεγκεῖν ἐπιδεξίως, ἢ τὰς εὐμεγέθεις εὐημερίας ἐμφρόνως. τὸ δὲ παντάμετρον ἐνιαχοῦ οὕτω γέγραπται·

γνῶναι γὰρ χαλεπὸν ταῦρα, ὅτ' ἐσθλὰ παρῆ.

695. οὐ δύναμαί σοι.) κάλασαλλικὸν τῶν ἐπιθυμιῶν τὸ δίστιχον. τὰ δὲ ἄρμενα, συμφέροντα καὶ προσήκοντα νῦν εἴρηκε.

696. ἔτι σὺ μοῦνος.) παρηγορητικὸν παροιμιωδῶς. ὥσπερ εὐριπίδειον τοῦτο, (a)

γίγνωσκε τ' ἀνθρώπεια, μηδ' ὑπερμέτρως
ἄλγει. κακοῖς γὰρ οὐ σὺ προσκέκεισαι μόνη.

697. τοῦ μὲν ἔχοντος.) ὅτι (a) ἄφιλον τὸ δυστυχὲς, καὶ νῦν αὖθις αὖ ἀποφαίνει ὁ ποιητής. τὸν δὲ πλοῦτον εἰς ὑπερβολὴν νῦν ἐπαινῶν, ἄλλων ἁπαξαπάντων ἐντιμότερον εἶναι κατασκευάζειν βούλεται, χρώμενος παντοίων ὑποδειγμάτων παραθέσεσιν. εἰσὶ δὲ ταῦτα ὥσπερ παράφρασις τοῦ ἀριστοδήμου ἀποφθέγματος, χρήματ' ἀνὴρ, πενιχρὸς δ' οὐδεὶς ἐσθλὸς, οὐδὲ τίμιος, οὗ μέμνηται πίνδαρος (b) ἰσθμίων β. τὸ δὲ, πλῆθος ἀνθρώπων τοῖς πολλοῖς, καὶ τῷ δημοτικῷ συρφετῷ. τὸν δὲ (c) ῥαδάμανθυν μίνως ἀδελφὸν γινόμενον, καὶ διὸς υἱὸν, δικαστὴν

κατελὼν ἐν ἅδου τῶν ψυχῶν κατεστάθῆναι μυθολογοῦσι διὰ τὴν δικαιοσύνην καὶ φρόνησιν, καὶ τὸ ἀδιάφθορον. περὶ δὲ σισύφου καὶ ἐν τῇ ζ. ῥαψῳδίᾳ (d) λέγεται, ὅτι κέρδιστος γένετ' ἀνδρῶν. καὶ ἐνταῦθα λέγεται, ὅτι καὶ τὴν περσεφόνην πείσας ἐξ ἅδου ἀνῆλθε πάλιν, ὅπερ ἄλλος οὐδεὶς διαπρᾶξαι οἷός τ' ἐγένετο. (καίπερ τῶν (e) μύθων παραδόντων, ὅτι καὶ ἡρακλῆς σὺν τῷ πειρίθῳ, καὶ ὀρφεὺς τὴν εὐρυδίκην ἀγών, ὁ μὲν βίᾳ πάλιν ἧκε δεῦρο. ὁ δὲ ἀφείθη κηλήσας τῇ ᾠδῇ τοὺς ἐκεῖ κρατοῦντας.) τὸ δὲ θανεῖν περιέφρασε, διά τι τὸ μέλαν νέφος, ἤγουν σκότος, καὶ κρυερὸν, ἢ ὡς ἐν ἄλλοις, σκιερὸν χῶρον, καὶ πύλας κυανέας. ἐν γὰρ τῷ θανάτῳ καὶ σκότος καὶ κρύος. ὁ δὲ νέστορος ἡδέος πυλίων ἀγορητοῦ, (f) ἀπὸ γλώσσης γλυκίων μέλιτος ῥέεν αὐδή. τῶν δὲ λόγων αὕτη ἡ δύναμις, ποιεῖν πιθανὰ τὰ ψεύδη. ὡς περὶ ὀδυσσέως φησὶν ὁ ποιητὴς, ὀδ. τ'. (g)

ἴσκεν ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα.

ἅρπυιαι δὲ, τέρατα πτηνά εἰσι παρὰ ποιηταῖς.

αἵρ' ἀνέμων πνοιῇσι καὶ οἰωνοῖς ἅμ' ἕπονται,

(h) καθ' ἡσίοδον. ὀνομάζονται δὲ τρεῖς, ὠκυπέτη, ἀελλὼ, κελαινώ. ταχέων δὲ, ἀντὶ τοῦ ταχειῶν, κατὰ συστολήν. οἱ δὲ βορεάδαι, βορέου ἀνέμου καὶ ὠρειθύας υἱοὶ, ὥς φησιν ἀπολλώνιος, (i)

τὼ μὲν ἐπ' ἀκροτάτοισι ποδῶν ἑκάτερθεν ἐρεμνὰς
σεῖον ἀειρομένω πτέρυγας μέγα θάμβος ἰδέσθαι,
χρυσείαις φολίδεσσι διαυγέας. ——

τοῦτο ἄρα ἐστὶν, ὃ εἶπε, τὸ ἄφαρ εἶτι πόδες, ἤγουν ταχέως

χρέως καὶ θερμικῶς ἔχοντες. συλλογίζεται τοίνυν οὕτω·
οὐδὲν ὠφελήσει τινὰ χωρὶς χρημάτων, οὔτε δικαιοσύνη,
οὔτε φρόνησις καὶ νοῦς περιττὸς, οὔτε δύναμις λόγου, οὔτε
ῥώμη καὶ ταχυτής. ἅπερ πάντες θαυμάζουσι καὶ ἡγοῦν-
ται εἶναι ἀγαθὰ, δύνατ᾽ ἄρα πλεῖστον παρὰ πᾶσιν ὁ
πλοῦτος. γράφεται δ᾽ ἐν ἐνίοις ἀντὶ τοῦ πλήθει ἀνθρώ-
πων, πᾶσιν δ᾽ ἀνθρώποις.

719. Ισόν τι πλουτ.) ἐνταῦθα ὥσπερ ἐξ ἄλλης ὑποθέ-
σεως ἀποφαίνει ὁ ποιητὴς, ὅστις ποτ᾽ ἐστὶν οὗτος. πλού-
ταρχος δή τοι ὡς σόλωνος τὰ ἐλεγεῖα τάδ᾽ ἐξέθηκεν,
(a) ἐν τῷ τοῦ σόλωνος βίῳ. λέγει γοῦν, ὅτι τὸ αὔταρκες
πλοῦτον νομιστέον, τὰ δ᾽ ἄλλα προσθήκην, καὶ ὄγκον, καὶ
οἷον σκηνικὴν τινὰ παρασκευὴν τοῦ βίου. οἷά ἐστιν, ἀρ-
γυρίου καὶ χρυσίου πλῆθος, καὶ ἀγρῶν μέγεθος, καὶ
πολλὰ ὑποζύγια. τοῖς γὰρ παροῦσιν, ὅσον χρεία, ἀρκού-
μενος, καὶ ἀπολαύων τῶν ἡδέων κατὰ τὸ σῶμα, πλούσιος
εἰκότως νομισθήσεται. ὡσαύτως δὲ ἔχει ἀμφί τε παῖδας
καὶ γυναῖκας, ὅτι πλοῦτον εἶναί φησιν ἐκείνων, τὸ τῆς ἡλι-
κίας ἐπίχαρι καὶ ἐπέραστον. αὐτὴ γὰρ ἡ ὥρα (ὅθεν καὶ τὸ
ὡραῖον) ἁρμοδία σὺν ἥβῃ, ἤγουν προσφιλὴς, καὶ σύμ-
μετρος τῇ ἀκμῇ. τὸ γὰρ νέον πᾶν καλόν. γράφεται δὲ
ἁρμοδία ἐν ἐνίοις, οὐχ ἁρμόδιος. καὶ ἀντὶ τοῦ, τὰ δέον-
τα, μόνα ταῦτα. καὶ ἀντὶ τοῦ, ὅταν δέ κε τῶν, ἐπὴν καὶ
ταῦτ᾽. τὰ περιώσια, ὑπέρογκα καὶ παμπληθῆ, φησι,
χρήματα ἀναγκάζονται ἐνταῦθα καταλιπεῖν ἅπαν-
τες οἱ θνήσκοντες, καὶ οὐδεὶς παρηγορεῖν (b) δύναται δώ-

ροις τὸν θάνατον, καὶ τὰς νόσους, καὶ τὸ γῆρας. τὰ δὲ ἄποινα οἱ παλαιοὶ χρήματα ὠνόμαζον. λέγεται δὲ κυρίως (c) τὰ ὑπὲρ φόνου διδόμενα, καὶ δὴ καὶ περὶ τῶν λύτρων.

ἐνταῦθα ἔν τινι τῶν ἀντιγράφων εὕρηνται δύο στίχοι οὗτοι, (d)

φροντίδες ἀνθρώπων ἔλαχον πτερὰ ποικίλ' ἔχουσαι,
μυρόμεναι ψυχῆς εἵνεκα καὶ βιότου.

ὧν ὁ νοῦς, ὅτι ταχεῖαι αἱ φροντίδες τῶν ἀνθρώπων καὶ δειναί εἰσι, μάλισθ' ὅταν κινδυνευτέον ᾖ περὶ ψυχῆς. καὶ τὸ μὲν, ἔλαχον ἔχουσαι, ὅμοιον τῷ (e) παίζεις ἔχων. τὸ δὲ μυρόμεναι, ῥέουσαι, καὶ προχεόμεναι, καὶ ἀγωνιῶσαι, καὶ ὀδυρόμεναι. ἐπί τινος γὰρ σπουδάζοι μᾶλλον ἄν τις, ἢ ψυχῆς πέρι;

729. Ζεῦ πάτερ.) εὔχεται μὲν πρῶτον ὁ ποιήσας ταῦτα, τοὺς ἀσεβεῖς καὶ ἀνοσίους τῶν ἀνθρώπων μὴ παύεσθαι ἀδικοῦντας καὶ ἐξυβρίζοντας, ἕως δίκην ὑπέχειν. ἡ γὰρ ὕβρις ἐκκαλεῖται τὴν τιμωρίαν, ὡς προείρηται, (a)

ὕβριν Κύρνε θεὸς πρῶτον κακὸν ὤπασεν ἀνδρὶ,
οὗ μέλλει χώρην μηδεμίαν θέμεναι.

καὶ νομίζει δεῖν αὐτοὺς ὑποκεῖσθαι ταῖς τιμωρίαις οἵπερ ἥμαρτον, οὐκ ἀποτίσαι ταύτας τοὺς ἐκγόνους. μετὰ δὲ ταῦτα δυσχεραίνει καὶ μέμφεται, ὅτι δοκεῖ ἀτάκτως γίνεσθαι ταῦτα, καὶ ἄλλως ἢ ὤφελε· τῶν δὲ κακῶν ἀνθρώπων εὐημερούντων, καὶ ἀτυχούντων τῶν ἀγαθῶν. καὶ ταῦτά ἐστιν ἃ μάλιστα τὴν ἀνθρωπίνην διάνοιαν διαστρέφου-

στρέφουσιν, ἀσχολουμένην περὶ τὴν τῶν θείων διάσκεψιν, ὡς καὶ (b) πρότερον εἴπομεν. τῶν δὲ νῦν λεγομένων ὁ νοῦς· ὦ ζεῦ, εἴθε φίλον εἴη τοῖς θεοῖς, οὕτω γὰρ ἂν καὶ συμβαίη, τὸ τὸν ἀσεβεῖς ἀνέδην ἐμφορεῖσθαι τῆς ὕβρεως. εἴη δὲ θεοῖς καὶ τοῦτο φίλον, ἤγουν ἀρεστὸν, ὥστε πάσχειν κακῶς αὐτὸν, καὶ διδόναι τῶν πεπραγμένων δίκην, ὥστε ἀπηνὴς, ἤγουν ἀτεράμων καὶ ὑπερήφανος, καὶ [...]λεὴς, καὶ οὐκ ἐντρεπόμενος τῶν λεγομένων περὶ θεῶν, ὅτι τοὺς σώφρονας στέργουσι, καὶ μισοῦσι τοὺς κακούς. τούτων οὐδὲν ἄρα φροντίζων εἴ τις ἐργάζοιτο σχέτλια, ἤγουν ἀνόσια καὶ ἄδικα ἔργα, ἀκολουθήσας τοῖς τε ἰδίοις διαλογισμοῖς, καὶ ταῖς ὁρμαῖς. εἴη αὐτὸν τιμωρίαν ὑπενεγκεῖν, καὶ μὴ ἐπικρεμάσαι τὴν δίκην ἐκφυγόντα αὐτὸν τοῖς τέκνοις, ὥστε κατ' ἀτασθαλίην, ἤγουν δι' ὕβριν καὶ παρανομίαν τοῦ πατρὸς τοὺς ἐκγόνους ἀναιτίους ὄντας κολασθῆναι. μᾶλλον γὰρ εἰκὸς, τοὺς παῖδας οὐδαμῶς ἐκτῖσαι τὰ παραπτώματα τῶν γεννησάντων, ὅσοι γ' ὄντες μὲν ἐκ πατρὸς ἀδίκου, αὐτοὶ δὲ δικαιοπραγοῦντες ἐν νῷ ἔχουσιν, ὅτι τὸ θεῖον τοῖς ἀδίκως πραττομένοις ὀργίζεται, καὶ διὰ τοῦτο συμφρονοῦσι μετὰ τῶν δικαίων ἀεὶ ἀζόμενοι, καὶ ἐντρεπόμενοι, καὶ φοβούμενοι τὴν θείαν ὀργήν. ἐγὼ μὲν δή, φησιν, εὔχομαί τε καὶ ἀξιῶ τοῦτο γενέσθ' οὕτως, τοὐναντίον δ' ὁρῶ συμβαῖνον. ὁ γὰρ πράξας οὐδὲν ἔπαθεν, ὁ δ' ἀναίτιος ἄλλος τὴν ἐκδίκησιν ἐπῆλθε. μεταβαίνει δὲ ἐνταῦθα πρὸς σχετλιασμὸν καὶ ἀγανάκτησιν πρὸς τὸ θεῖον, ὅπερ φιλεῖ

γίνεσθαι περαιουμένης τῆς διανοίας ἐν τῷ ἄχθεσθαι παρ' ἀξίαν εὐτυχεῖν τε καὶ δυσυχεῖν πλείστους ὅσους τῶν ἀνθρώπων, ᾧ τινι ἀνεχόμενος πάθει, ὁ παρὰ μενάνδρῳ κράτων ἀποφαίνει ὅτι (c)

ὄνον γενέσθαι κρεῖττον, ἢ τοὺς χείρονας
ὁρᾷν ἑαυτοῦ ζῶντας ἐπιφανέστερον.

ἐσχημάτισται δ' ὁ λόγος ἐν πάθει προενεχθεὶς κατ' ἐρώτησιν, πῶς φησι, δίκαιον, ὦ ζεῦ, μὴ πράττειν εὖ, ὥσπερ ἄξιόν ἐστι τὸν ἐπιεικῆ ἐκεῖνον, ὃς ἀπέχεται μὲν ἀδικίας, φεύγει δὲ τὸ ἁμαρτάνειν, καὶ τὴν ἀσέβειαν τῶν ἐπιορκιῶν; τίς ἄρα ἤθη τῶν ἀνθρώπων, εἴ τι διανοηθεὶς, τῷ καθορᾷν τὴν ἀταξίαν, ἅζοιτο, ἤγουν σέβοιτο τὸ θεῖον; ὅτε δὴ ἀνὴρ ἄδικος καὶ παράνομος, οὔτε θεοῦ, οὔτ' ἀνθρώπων φροντίζων, ἢ φυλαττόμενος ὀργὴν τούτων, ὅμως ὑβριστικῶς διάγει τὸν βίον, πλούσιος καθ' ὑπερβολὴν ὤν. οἱ δὲ δίκαιοι καὶ νομίμως ζῶντες, τῇ ἐσχάτῃ πενίᾳ συνεχόμενοι, ἀπόλλυνται. ὅμοια τάδε τῷ ἡσιοδείῳ, (d)

νῦν δὲ τ' ἐγὼ μήτ' αὐτὸς ἐν ἀνθρώποισι δίκαιος
εἴην, μήτ' ἐμὸς υἱὸς, ἐπεὶ κακὸν ἄνδρα δίκαιον
ἔμμεναι, εἰ μείζω γε δίκην ἀδικώτερος ἕξει.

τὸ μὲν, τρύχονται, ἐστὶ τὸ θλίβονται, ταλαιπωροῦσι). τὸ δὲ τειρόμενοι, ὀδυνώμενοι καὶ λυπούμενοι, ἀλγοῦντες, ὡς τὸ, (e)

— ὁ δ' ἀλύων ἀπεβήσατο, τείρετο δ' αἰνῶς.

751. Ταῦτα μαθὼν.) οὐκ ἐκλέλεκται ταῦτ' ἀκολούθως ἐνταῦθα, τοῖς περὶ αὐτῶν ἐκκειμένοις ἔγγιστα. ὥστε ἀνα-

ἀναγνωστέον τὸ τετράστιχον, οἷον ἄλλοθεν ἐπιπεπλεγμένον. ἔστι δ᾽ οὖν ἡ παραίνεσις περὶ τοῦ, ὅτι κτᾶσθαι δεῖ χρήματα σὺν δίκῃ, καὶ ἄνευ πανουργευμάτων. συνίστησι δὲ ταύτην ὡς ὠφέλιμον, καὶ μάλιστα οὕτω φανησομένην κατὰ τὸ ἔσχατον ἐκβάν. ἣν πειθόμενός, φησι, τῷ σωφρονίζοντι λόγῳ, μεμνήσῃ τῶν ῥημάτων τῶνδε, ἐπαινέσεις τὴν ὑποθήκην, πειραθεὶς τῆς ὠφελείας.

755. Ζεὺς μὲν τῆσδε πόληος ὑπείρ.) εὔχεται ὁ ποιήσας ταῦτα ὑπὲρ σωτηρίας τῆς πατρίδος, δεόμενος τοῦ θεοῦ ἅμα τε εἰρήνην καὶ εὐφροσύνην παρέχεσθαι τῇ πόλει. πεποίηται δὲ τὸ ἐλεγεῖον κατὰ τοὺς χρόνους, οἷς ἦσαν προσδόκιμοι αἱ μηδικαὶ ἐπιστρατεῖαι ἐπὶ τὴν ἑλλάδα. τὸ δὲ χεῖρα τὴν δεξιὰν ὑπερέχειν, παροιμιωδῶς περὶ τοῦ παρέχεσθαι τὴν ἀσφάλειαν, ὡς καὶ Ιλ. ί. (a)

—— μάλα γὰρ ἕθεν εὐρύοπα Ζεὺς

χεῖρα ἑὴν ὑπερέσχε. ——

ἀπημοσύνην δ᾽ εἶπε τὴν τῶν κακῶν καὶ βλαβερῶν ἀποτροπήν. ἀξιοῖ δὲ καὶ τοὺς ἄλλους θεοὺς προνοῆσαι τῆς πόλεως, καὶ μάλιστα τὸν προστάτην ἀπόλλωνα, ὃν καὶ παρασκευάσαι αὐτοῖς εὐθυμίαν βούλεται τῶν τε μελῳδιῶν καὶ εὐωχιῶν ἑορτασίμων. ἐκ δὲ τοῦ ἀπόλλωνος, ὡς ἡσίοδός φησιν, (b)

ἄνδρες ἀοιδοὶ ἔασιν ἐπὶ χθόνα καὶ κιθαρισταί.

αἰτεῖ γοῦν παρ᾽ ἐκείνου ὁ ποιητὴς παραγενέσθαι αὐτοῖς τὴν διάρθρωσιν τοῦ νοῦ, καὶ τῆς γλώσσης, ἵνα φθέγγοιντο εὐαρμόνια καὶ σύμφωνα ἐν ταῖς φιλοφρονικαῖς συνουσίαις,

σίαις, ἐκτὸς ὄντες τῶν κινδύνων, καὶ ἐν σκέπῃ πολέμου μηδικοῦ. παρήχησις δὲ γλυκεῖα, ἤ, μηδὲν τῶν μήδων. τὸ δ' ἀρεσάμενοι ἀοιδὰς θεοῖς, εὐάρεστα ᾄδοντες. καὶ οὕτως ἂν βέλτιον πράττοιμεν, ἐν εὐφροσύνῃ ἀμέριμνον βίον διάγοντες, καὶ ἥδιον, καὶ πορρωτέρω ἀπελαύνοιμεν ἂν τὰς κῆρας καὶ τὰς ἀτηρὰς καὶ δεινὰς τῶν συντυχιῶν, αἳ βαρύταται εἶναι δοκοῦσιν, ὅτε θάνατος καὶ τὸ γῆρας.

767. Χρὴ μουσῶν.) τὸν φθόνον ἀπεῖναι δεῖν φησὶ ἀπὸ τῶν σοφῶν καὶ ἐλλογίμων ἀνδρῶν· αὐτοὶ γὰρ πρόσπολοι τῶν μουσῶν καὶ ἑρμηνεῖς εἰσι. μῶσαι δὲ εἴρηται παρὰ τὸ μῶσθαι, ἤγουν ζητεῖν καὶ ἐρευνᾶν, κατὰ τὸν πλάτωνα (a) κρατύλον, διὰ τὰς φιλοσοφικὰς ἐννοήσεις καὶ σκέψεις. λέγεται δ' ὅτι (b) τῆς ἀποκρύφου μουσικῆς ὄφελος οὐδέν. ὁ γοῦν ποιητικός, φησιν, ἀνὴρ εὑρεῖν τινα πειράσθω, καὶ τὰ εὑρηθέντα ἐπιδειξάτω, καὶ καινὰ ἄλλ' ἄμα ποιησάτω.

771. Φοῖβε ἄναξ.) τοῦτο τεκμήριον παρέχονταί τινες τῶν γεγονότων (a) τὸν θέογνιν μεγαρέα ἐκ τῆς ἀττικῆς. τὸν δ' ἀλκάθουν υἱὸν πέλοπος καὶ ἱπποδαμείας. (b) τειχίσαι τὰ μέγαρά φασι, καὶ ἀπ' αὐτοῦ τὴν πόλιν ἀλκάθου ὀνομασθῆναι. ἔστι δὲ εὐχὴ ὑπὲρ πατρίδος, ἧς οὐδὲν γλύκιον, (c) κατ' ὅμηρον. περὶ δὲ θαυμαστοῦ καὶ λαμπροῦ τειχισμοῦ εἴρηκεν, ὅτι τοὔργον ἀπόλλωνος ἐγένετο, τουτέστι θεῖον καὶ ἐπιφανές. τὸ πόλευς, αἰολικόν, ἀντὶ τοῦ πόλεως. ἀπέρυκε, φησὶν εὐχόμενος, ὦ ἀπόλλων, ἤγουν ἀπότρεπε

καὶ

καὶ ἀπεδίωκε (d) τοὺς μήδους καὶ πέρσας, ἵνα σοὶ θυσίας αὖθις ἀποτελεῖν ἔχωμεν. λέγει δὲ, ὅτι δέδοικε καὶ φοβεῖται, διὰ τὰς στάσεις τῶν ἑλλήνων. αἱ δὲ ἱστορίαι ἔκκεινται παρ' ἡροδότῳ. λαοφθόρος δὲ ἡ στάσις, ὅτι καὶ τοῦ πολέμου ἡ στάσις κακίων, ὥς φησιν ἡρόδοτος (e) οὐρανία, τὰ λοιπὰ συστατικὰ τοῦ, ὅτι οὐδὲν οὐδενὶ τῆς πατρίδος τιμιώτερόν ἐστιν. ἐγὼ γάρ, φησι, καὶ παρὰ σικελοῖς, καὶ παρ' εὐβοεῦσι, καὶ παρὰ λάκωσι μετοικῶν, ἐδυνάμην ἂν εὖ πράττειν καὶ ζῆν καλῶς, ἀλλ' ὅμως ἡ πατρὶς φιλτάτη. ὅτι δὲ ἥ τε σικελία, ἣν περιφραστικῶς γαῖαν σικελὴν εἶπε, νῆσος (f) τριακρία, πρὸς τῇ ἰταλίᾳ, ὅθεν καὶ πάλαι ποτ' ἀπορραγῆναι (g) λέγεται, γνώριμον. ἡ δὲ εὔβοια παρατεινομένη κατὰ τὴν ἀττικὴν ἐκαλεῖτο διὰ τοῦτο, οἶμαι, καὶ μακρίς. σπάρτη δὲ πόλις λακεδαίμονος, ἔχουσα παραρρέοντα ποταμὸν εὐρώταν, παρ' ᾧ φύονται συχνοὶ δόνακες, ἤγουν οἱ λεπτότεροι τῶν καλάμων, ἐκεῖ καὶ δρόμοι ἦσαν τῶν ἐφήβων. τὸ ἐφίλευν προφρόνως, ἰωνικῶς, ἀντὶ τοῦ ἐφίλουν προθύμως.

787. Μή ποτέ μοι.) τὴν ἐνάρετον σοφίαν, καὶ τὸ τοῦ βίου κόσμιον, καὶ εὐπαθές, καὶ ἀξιωματικὸν, κἀνταῦθα περὶ πλείστου ποιεῖται. τὸ μελέδημα, φροντίς.

791. Μήτε τινὰ.) παραίνεσις τοῦ δικαιοπραγοῦντα πρὸς ἅπαντας, οὐδὲν φροντίσαι δεῖν τῶν τῶν ἄλλων ὑπολήψεων. τὰς γὰρ τῶν ἀνθρώπων γνώμας διαφόρους καὶ παντοδαποὺς εἶναι, καὶ οὐδένα δύνασθαι πᾶσιν ἀρέσκειν, καθάπερ καὶ ἀρχόμενος (a) εἰρήκειν, ὅτι δὲ οἱ ψόγοι

ἄπιον) μάλιστα τῆς ἀρετῆς, φανερόν. (b) φθόνος γὰρ ἕπεται τὸν ἔχοντα. ὁ δὲ ψόγος ἔργον ἐστὶ φθόνου. ᾧ δὲ λώϊον, ἤγουν βέλτιον παράσχοι ἡ τύχη, οὗτος ἐστὶν, οὐ μὴν μέλ πολλοῖς. ἐν τισι γέγραπται, ὡς (ἤγουν οὕτω) λώϊον γί νοιτό τινι, εἴτε μὴ λόγος πολὺς εἴη. εἴρηται δὲ κατὰ (c) τὸ λάθε βιώσας. καὶ περὶ τοῦ τὰ αὐτοῦ σωφρόνως πράττειν, καὶ οὐκ ἀπαρτῆσθαι τῶν φερομένων ἑκάστοτε παρ' ἀδολέσχαις περὶ τῶν ἀγαθῶν, ἤγουν ἐντίμων καὶ ἐπιφανῶν. τὸ δηλεύμενος, ἀντὶ τοῦ δηλούμενος. τὸ δὲ δηλεῖσθαι, βλάπτειν σημαίνει. ὡς παρὰ Θεοκρίτῳ, (d)

—— τὼς δ' ἔτι ποτῷ δαλήσατο κίρκα.

καὶ αὖθις, (e)

—— οὐδεὶς κακὸν ἔργον

δαλεῖται τὸν ἰόντα, παρέρπων αἰγυπτιστί.

ἐνδήμους δ' εἶπε τοὺς πολίτας. δυσηλεγεῖς δὲ, τοὺς βαρεῖς καὶ κακηγόρους. τῷ δ' ὁμήρῳ, (f) δυσηλεγὴς ὁ θάνατος. τὰ δὲ λοιπὰ, οὐδεὶς ἐστὶν, οὐδ' ἔσται, ὅστις διαπλέσει πᾶσιν ἀρέσκων ἐν παντὶ τῷ βίῳ. τοῦτο γὰρ οὕτως ἐνήλλαξεν, ὅστις ἕως θανάτου δυνήσεται ἀρέσκειν ἅπασι. τοῦτο γὰρ καὶ αὐτῷ τῷ διὶ ἀδύνατον.

803. Τόρνου καὶ στάθ.) ὑποθήκη ἥδε πρὸς τοὺς ἀπὸ τῶν πόλεων θεωρούς. οἱ δὲ θεωροὶ καὶ εἰς τὰς πανηγύρεις θυσίας ἄγοντες, καὶ ἐπὶ τὰ χρηστήρια ἐπερωτήσοντες τὸ θεῖον ἐπέμποντο. ὁ δὲ πρωτεύων ἐν αὐτοῖς, ἀρχιθέωρος. καὶ ναῦς ἡ ἄγουσα, θεωρὶς ἐκαλεῖτο. τὸν θεωρὸν ἄνδρα, χρὴ φυλασσέμεναι, ἤτοι φυλάσσειν καὶ τηρεῖν, ἀδιάφο-

στρόφον μᾶλλον, ἢ τόρνον, καὶ στάθμην εἶναι εἰκὸς, ἑαυτ. ἵν' ἀπαγγείλῃ ἀδόλως, καὶ ἁπλῶς τὰ χρησθέντα οὔτε τι προσθεὶς, οὔτ' ἀφαιρούμενος. ἔστι δὲ τὰ ἐπόμενα τοῦ θεωροῦ ὁριστικά. θεωρὸς γὰρ, ᾧ τινι ὁ θεὸς ἐξ ἀδύτου, ἤγουν μέρους ἀπροσίτου τοῦ ναῶ, πίονος διὰ τὴν τῶν θυσιῶν δαψίλειαν, προπέμψῃ τὴν θείαν φωνὴν, θεσπίσας διὰ τὴν ἱέρειαν, τὴν πυθίαν ὀνομασθεῖσάν ποτε. πυθῶνα δὲ καὶ πυθὼ, τοὺς δελφοὺς ἔλεγον. ὡς τὰ (a) πυθῶνά τε πετρήεσσαν. καὶ τὸ, πυθοῖ ἔνι πετρηέσσῃ. δύναται δὲ τὸ, (b) πίονος ἐξ ἀδύτου, καὶ περὶ τῶν χρημάτων ἐν δελφοῖς νοεῖσθαι, πολλῶν τε καὶ παντοίων ὄντων. (c)

809. Χρῆμ' ἔπαθον.) δίστιχον σχετλιαστικὸν ἁπλῶς καὶ ἀδιορίστως. πάντων, φησὶν, ἐκτὸς τοῦ θανάτου, μᾶλλον λυπηρόν τι συμβέβηκεν ἐμοί. τὸ ἀνιηρότατον, ὀδυνηρότατον. οὐ πρόσκειται δὲ ἡ τοῦ οὕτως ἀνιαροῦ πράγματος διασάφησις.

811. οἵ με φι.) πεῖραν, φησὶ, λήψομαι ἤδη τῶν ἐχθρῶν, προδοθεὶς ὑπὸ τῶν φίλων. ἀγανακτητικὸν τὸ δίστιχον.

814. Βοῦς μοι.) παροιμιωδῶς εἴρηται, περὶ τῆς ἀναγκαίας σιγῆς τῶν ἀσθενῶν. οὐκ ἄπειρος ὢν τοῦ λαλεῖν, φησιν, ὅμως σιωπᾶν ἀναγκάζομαι, πιεζόμενος ταῖς ἀπορίαις. τὸ δὲ λὰξ, ἡ τοῦ ποδὸς ἐπίκρουσιν, ἢ καὶ ἀπὸ ταύτης ἀποδιδόμενον ψόφον σημαίνει, ὅθεν τὸ λακτίζειν. τοῖς ποσὶν ἀντικρούειν. ὁ δὲ πολυδεύκης ἐν τῷ θ. βιβλίῳ (a) τῶν ὀνομαστικῶν, φησὶν οὕτως· εἶναι δηλίων οὐκ ἀθηναίων ἴδιον εἶναι νόμισμα τὸν βοῦν νομίζουσιν, ἐντεῦθεν δὲ

καὶ τὴν

καὶ τὴν παροιμίαν εἰρῆσθαι, βοῦς ἐπὶ γλώσσῃ βέβηκεν, εἴ τις ἐπ' ἀργυρίῳ σιωπήσειεν.)

815. Κύρν' ἐμπ.) περὶ τῆς μοιριδίου δυνάμεως ἐκδιδάσκει τὸ δίστιχον. λέγει δὲ, ὅτι (a) τὰ μόρσιμα ἀναγκαῖα καὶ ἄφυκτα ὑπάρχοντα, οὐ φοβητέον. ὅμοιαι δὲ γνῶμαι παρὰ τοῖς πάλαι ἀνήριθμοι, ὡς τοῦ χρησμοῦ παρ' Ἡροδότῳ κλεῖ, (b) τὴν πεπρωμένην μοῖραν ἀδυνατόν ἐστι ἀποφυγεῖν καὶ θεῷ. καὶ τοῦ Εὐριπίδου, (c)

οὐκ ἔστι μοίρας τοῦ χρεών τ' ἀπαλλαγή.

τούτου οὖν συσταθέντος, ὅτι οὐκ ἔστιν ὑπαλύξαι, καὶ διαφυγεῖν τὸ μοιρίδιον λάχος, συλλογίζεται μετέπειτα ὁ ποιητής, ὅτι τὴν ἀπὸ τοῦ φοβεῖσθαι ὀδύνην καὶ ταραχὴν περιστάσθαι τῷ πάντως γενησομένῳ, ἠλίθιον.

817. Ες πολὺ ἄρρηκτον.) καὶ τοῦτο γνωμικῶς, ὡς ἀπόσπασμά τι τινὸς ἐμπαραβέβληται. παντάπασί, φησι, κινδυνεύομεν ἀπολέσθαι ἀμφω, τὸ ἄρρηκτον, ἀντὶ τοῦ ἄμαχον. γράφεται δ' ἐν ἐνίοις ἄρρητον ἤγουν ἄφατον, καὶ τοῦ κλύειν πέρα. τὸ συλλάβοι δὲ μοῖρα θανάτου ἀμφω, ἀντὶ τοῦ συναποθάνοιμεν.

819. Οἵ δ' ἀπογηρ.) ἀποφαίνει, ὅτι οἱ ἀτιμάζοντες τοὺς γονεῖς ἄλλως τε καὶ γεγηρακότας, ταύτην τιμωρίαν ὑπέχουσιν, ὥστε τὸ γένος αὐτῶν ἀμαυροῦσθαι, καὶ κατ' ὀλίγον διαφθείρεσθαι. τοῦτο γὰρ δύναται τὸ, ὀλίγη χώρα τούτων ἐστὶν· ἤγουν τοῖς τοιούτοις οὐκ αὐξάνεται ὁ οἶκος, ἀλλὰ μειοῦται. ὡς ἐν τοῖς ἄνω, (a) χάριν μηδεμίαν θέμεναι,

παν

παντάπασιν ἐκκόψαι. ἔχομεν δὲ τοῦτο κἀκ τῆς θείας
ἐπαγγελίας μαθεῖν, (b) τῆς τῇ ἐντολῇ προστεθείσης. ἐκεί-
νη γὰρ ὑπισχνεῖται τοῖς τιμῶσι τοὺς γονεῖς ζωήν τε μα-
κροτέραν, καὶ βιωτικὰ ἀγαθά, ἑπομένως δῆτα τὸ ἐν-
αντίον (c) τοῖς ἀπειθοῦσι τῇ ἐντολῇ, καὶ ἔτι μᾶλλον δὴ τοῖς
τἀναντία πράττειν τολμῶσι.

821. Μήτε τιν' αὔξει.) εὖ καὶ ὁσίως παραινεῖ ὁ ποιη-
τής, μήτε πρὸς τὸ τῇ τυραννίδι ἐπιθέσθαι συνεργῆσαί
τινι, μήτ' αὖ συνεργήσαντα καὶ συνωμότην γεγονότα
τυραννοκτονεῖν. ἵνα τις μήτ' ἄδικος, μήτ' ἀσεβὴς εἶναι
δόξῃ. μὴ αὖξε τύραννον εἶναι, ἤγουν προσθήσῃ κράτος
τινί, ὥστε τὴν τυραννίδα κατασχεῖν, ἐλπίσας κερδᾶναί
τι ἐκ τοῦ πράγματος.

823. Πῶς ἡμῖν.) σχετλίασις περὶ τῆς τῶν πολιτῶν ἀτο-
πίας. οἱ πίνουσί τε, καὶ εὐωχοῦνται, καὶ ἐν ἡδυπαθείαις
διάγονται, τῆς χώρας ἀποτεμνομένης μεταξύ, καὶ τῶν
ὁρίων ἐξ ἀγορᾶς καθορωμένων, ἤγουν πάνυ ὄντων ἐγ-
γύς. τὸ γὰρ οὖρος, ἢ ὅρος νῦν ἐστι, ἤγουν στήλη, ἢ τοιοῦτό
τι, ὁρίζουσα τὴν χώραν. ἢ φύλαξ, ὁ παρὰ τὰ ὅρια φρου-
ρῶν. ἡ δὲ γῆ, φησίν, ἀποτεμνομένη τρέφει τέ τοῖς καρ-
ποῖς τοὺς ἐγχωρίους, καὶ τοὺς ἐν εἰλαπίναις, ἤγουν εὐω-
χίαις στεφανηφοροῦντας τρέφει, ἤγουν κοσμεῖ τοῖς ἄν-
θεσιν. ἔστι δὲ τὰ λεγόμενα ἀσυντακτότερά πως, καὶ οὐδ'
ἴσως ἀπηρτισμένα. ἴσως τε γραπτέον μᾶλλον ξανθῆσι γε-
κο. τὰ λοιπά, ἐπιτίμησίς ἐστι τῶν ἀκαίρων ἡδονῶν. ἐξ-
ιώεκ) δὲ κατὰ παροιμιώδη ἀποστροφήν· ὦ σκύθα φησί,

κου

κουρὰν πένθιμον ἀποξύρηθι, καὶ λῆξον κώμου, δυσχεραίνων τῇ τῆς χώρας ἀπωλείᾳ. τουτέστιν, ὦ πολῖται (a) ἀποσκυθίσαι ἤδη καιρὸς, καὶ ἀπὸ τῶν εὐπαθειῶν γενομένους φροντίσαι τι περὶ τῆς ἀπολλυμένης χώρας, καὶ μὴ ἀμερίμνως ἐν τοσούτῳ κινδύνῳ διάγειν. οἱ γὰρ σκύθαι διὰ τὸ πλῆθος τῶν καταχυσῶν αὐτοὺς συμφορῶν, ἐπεὶ διὰ τὸ πένθος ἅμα τόν τε τῶν βίων ὄλβον καὶ τὰς κόμας περιεσπάσθησαν, παντὸς ἔθνους οἱ ἔξω τὴν ἐφ' ὕβρει κουρὰν ἀποσκυθίσαι προσηγόρευσάν, φησὶν ἀθήναιος (b) ἐν τῇ ιβ. εἰσὶ δὲ, (c) οἱ κατὰ διάλεκτον, τὸν σκύθην σίδηρον εἶναι λέγουσι, δῆλον ὅτι διὰ τὸ μάχιμον καὶ φονικὸν τοῦ ἔθνους.

829. Πίστει χρήματ' ὄλ.) ὅτι ἀπιστία χρήσιμός ἐστι, καὶ νῦν εἴρηται. αὐτὴ γὰρ σώτειρα τῶν χρημάτων. πίστις δὲ φθαρτικὴ τούτων. ἔστι δ' ὅμως τὸ πρᾶγμα δυσχερές. τοῦτο γὰρ βούλεται, τὸ ἀργαλέη γνώμη γίνεται, ἤγουν οὐ ῥᾴδιον σαφὲς διαλήψεσθαί τινα περὶ τούτων, κατὰ τόδε, (a)

πίστις δ' ἄρα ὁμῶς καὶ ἀπιστίαι ὤλεσαν ἄνδρας.

831. Πάντα τάδ' ἐν.) κατηγορία αὐτὴ τῆς ἀνθρωπίνης μοχθηρίας, δι' ἣν δυστυχεῖ ἕκαστος μάλιστα. ἐναντιούμενα δέ πως ταῦτα τοῖς πρότερον, (a) ὅτι οὐδεὶς ἄτης καὶ κέρδεος αἴτιος αὐτὸς. καὶ ὅτι, (b) οὔτοι ἄτερ θεῶν

γίνεται ἀνθρώποις οὔτ' ἀγαθ' οὔτε κακά.

εἴρηται δὲ κατὰ τὸ ὁμηρικὸν ὀδυσσ. ά. (c)

ὢ πόποι, οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται,
ἐξ ἡμῶν γάρ φασι κάκ' ἔμμεναι, οἳ δὲ καὶ αὐτοὶ
σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσιν.

οὐ ἀδι-

ἡ ἀδικία, καὶ ὑπερηφανία, καὶ φιλοκέρδεια πολ-
λῶν ἀγαθῶν στερίσκουσα τοὺς φαύλους, ἀντιδίδωσι κα-
κά. τὸ, (d) ἐν κοράκεσσι, ἐν κόραξι, παροιμιωδῶς,
ὥσπερ καὶ ἡ ἐξήγησις προστέθειται, ἐν φθορᾷ. τὰ φθορι-
μαῖα γὰρ καὶ νεκρὰ τῶν ζώων ὑπὸ κοράκων διασπαράτ-
τεται.

835. Διψαλέοι τοι πόσ.) ὅμοια τοῖς (a) πρόσθεν περὶ τῆς
οἰνοποσίας εἰρημένοις, ὅτι ἄριστον κἀνταῦθα τὸ μέτριον.
δύο, φησὶ, κῆρες, ἤγουν μοῖραι βλαπτικαί εἰσι, ἥ τε ἔν-
δεια, καὶ τὸ πλεονάζον τῆς πόσεως, λυσιμελῆ δ' ἐκά-
λεσε τὴν δίψαν, διὰ τὸ πάντων τῶν σωματικῶν παθῶν
ταύτην εἶναι δεινοτάτην καὶ ἐπαχθεστάτην κατὰ τὸν σοφο-
κλέα, ὡς Ἀθήναιος ἐν τῇ ι. (b)

διψῶντι γάρ τοι πάντα προσφέρων σοφὰ,
οὐδὲν πλέον τέρψαις μὴ πιεῖν διδούς.

τὸ δίψος γὰρ πᾶσιν ἰσχυρὰν ἐπιθυμίαν ἐμποιεῖ, τὴν
περὶ τῆς ἀπολαύσεως. ποθεῖ δὲ μάλιστα ἡ δίψα τὸ παῦ-
σον τῆς ἐπιθυμίας, ὅθεν καὶ τὸν (c) ποιητὴν πολυδίψιον ἄργος,
τὸ πολυπόθητον εἰπεῖν, τινὲς παρέδωκαν. ἡ δὲ μέθη τῶν
πάνυ χαλεπῶν. καὶ (d) τὶς τῶν κωμικῶν εἴρηκεν, ὅτι

—— ἁπάντων ἐστὶ τὸ μεθύειν κακὸν
μέγιστον ἀνθρώποισι, καὶ βλαβερώτατον.

καὶ οἶνον (e) ἄλλος τὶς εἶπε, πάντων μητρόπολιν εἶναι
τῶν δεινῶν. φησὶ τοίνυν ὁ ποιητὴς, ὅτι τῶν ἄκρων ἀμ-
φοτέρων ἀποστησάμενος ἀνὰ τὸ μέσον παριέναι βούλε-
ται, τουτέστι, μετριοποτεῖν, ἂν τὸ μέσον, ἀνὰ τὸ μέσον.

στρα-

στρωφήσομαι, ἀναστρέψομαι. τὰ δὲ ἐφεξῆς μομφὴν περιέχει τοῦ τὸν οἶνον οὐ μόνον διαστρέφειν τὴν γνώμην τῶν πολὺν τοῦτον πασάντων, ἀλλὰ καὶ ἀπεχθειῶν πολλῶν γίνεσθαι αἴτιον. ὥστε καὶ τοὺς ἀπεχθῶς ἔχοντας πρὸς ἀλλήλους ἐνίοτε ξυμβεβλῆσθαι περὶ τὸν πότον. τὸ δὲ ὑπόλοιπον τοῦ ἐλεγείου δίστιχον, περιέχει παραίνεσιν χρηστὴν, (f) τοῦ ἐν καιρῷ ἀπιέναι καὶ παύεσθαι τοῦ πιεῖν. ὁπόταν, φησὶ, γίνεσθαι ἄρξηται κρείττων ὁ οἶνος, ὅν τις ἔτι ῥᾳδίως αὐτὸν φέρειν ἤσθετο, τότε καιρὸς ἂν εἴη τινὶ ἰέναι οἴκαδε παυσάμενον πόσεως. ἐὰν ὑπένερθεν, ἤγουν κρατούμενος ἔστι. γίνηται καθύπερθε, τουτέστι κρείττων. τὸ δὲ θωρήξας, ἀντὶ τοῦ παροξύνας καὶ διαθερμήνας.

843. Εὖ μὲν κείμ.) κατὰ τὸ πινδαρικὸν πυθίων (a) δ. ῥάδιον μὲν γὰρ πόλιν σεῖσαι καὶ φαυροτέροις, ἀλλ' ἐπὶ χώρας αὖθις ἔσαι δυσπαλὲς δὴ γίνεται ἐξαπίνας, εἰ μὴ θεὸς ἁγεμόνεσσι κυβερνατὴρ γένηται. ὁ γὰρ νοῦς· ῥᾳδίως δύναταί τις, τὸ εὖ κείμενον, ἤγουν καλῶς ἔχον, μεταθέσθαι κινήσας, ὥστε ἔχειν κακῶς, τοὐναντίον δὲ τὸ κακῶς κείμενον διορθῶσαι δυσχερές ἐστιν. περιέχει γὰρ ταῦτα ἐπιτίμησίν τινα πρὸς τοὺς νεωτεροποιοὺς, καὶ τὰ καθεστηκότα κινεῖν ζητοῦντας. τοῦτο γὰρ ἐπικίνδυνον ἀεί πως ἐστὶν, ὥστε καὶ τοὺς παροιμιαζομένους λέγειν, (b) ὅτι καὶ κακὸν εὖ κείμενον οὐ κινητέον.

845. Λὰξ ἐπίβα.) ἠλληγόρηται παραίνεσις τοῦ χρῆσθαι ἐξουσίᾳ δυνάμεως, ἐνδιδόντων τῶν ἀρχομένων. εἶναι γὰρ τούτους οἵους καὶ προθυμότατα δουλεύειν πάντων

ἀνθρώ-

πων τῶν ὑπὸ τοῦτον τὸν ἥλιον. τῇ δὲ ὑπερβολῇ,
ἐρώτερον κέχρηται. ὁ δὲ νοῦς· λὰξ ἐπίβηθι, ἤγουν τοῖς
ἐπίβαινε τῷ δήμῳ, ᾧ τινι γ' οὖν. οὐ γὰρ διαστασιά-
πιέζων τε καὶ ὑπὸ σαυτοῦ ποιούμενος, πλήττων τε
εὖς, καὶ χαλινὸν ἐμβαλὼν τῶν τραχέων, τουτέστιν ὑπεί-
ον κατέχων τῇ κακώσει. τὸ δὲ λὰξ. καὶ ἐν ὀδυσσείᾳ
εἴρηται, λὰξ ποδὶ κινήσας, ἤγουν λακτίσματι ἐπιτείνας.
δέξαντο δέ τινες τὸ ἐπίρρημα παρ' ὁμήρῳ, ἀντὶ ψό-
φοις ἀποτελουμένου τοῖς τοῦ ποδὸς δακτύλοις.

49. Ζεὺς ἄνδρα.) κατάρα περὶ τῶν ὑποκρινομένων
φιλεῖν, τῷ δ' ὄντι μισούντων σὺν σπονδαῖς, δολερῶν
ἀπίστων καὶ πανούργων ὄντων, οἵ τινες πλείστην διὰ-
ἔχουσιν εἰς τὸ βλάπτειν. οὐ γὰρ ὑφορῶνται δῆτ' ἐπὶ
κῶ. καὶ τούτων ἕνεκα παρῄνεσεν ὁ ἐπίχαρμος (a)
ειν καὶ μέμνησο ἀπιστεῖν. οὐ γάρ τοι τῶν ἐχθρῶν προδήλως
ων χάριν, οἷς πιστεύει οὐδείς.

851. Ἤδεα μὲν καὶ.) ταὐτὸ τοῖς αὐτοῖς σχεδὸν ῥήμασιν τὸ
στιχον ἐν τοῖς κάτω (a) αὖθις ἐκλέλεκται. φησὶ δὲ, ὅτι καὶ
ρον ἠπίστατο. νῦν δὲ δὴ λῷονα, ἤγουν βέλτιον εἰ-
ν, ὅτι οὐδεμία χάρις πρόσεστι τοῖς δειλοῖς, τουτέστιν ὅτι
καταφρονεῖται ἡ ἀσθένεια, καὶ δυστυχία, προσαφθείη δ'
ἐνταῦθ' ἂν καὶ τὸ ὁμηρικὸν, (b)

δειλαί τοι δειλῶν τε, καὶ ἐγγύαι ἐγγυάασθαι.

δειλὸς γὰρ παρὰ τῷ ποιητῇ ὁ δείλαιος, καὶ ἄθ-
λιος, καὶ ταλαίπωρος, καὶ μοχθηρός. τὸ δὲ ἤδεα,

ἀντὶ τοῦ ἦδειν, διάλυσις ἰωνική· ὡς ἐτετύφειν, ἐτετύφεα. καὶ οὕτω κεῖται Ιλιάδ. ξ. (c) τὸ ῥῆμα.

853. Πολλάκις.) σχετλιαστικὸν περὶ τῆς τῶν ἀρχόντων ἀμελείας καὶ κακίας. τὴν γὰρ κακότητα νῦν ῥαθυμίαν ἐκάλεσε καὶ φαυλότητα, ὡς Ιλιάδ. ν. (a)

ἡγεμόνος κακότητι μεθημοσύνῃσί τε λαῶν.

καὶ Ιλιάδ. β. (b)

ἢ ἀνδρῶν κακότητι, καὶ ἀφραδίῃ πολέμοιο.

Μεταφορικῶς δ' εἶπε πολλάκις τὴν πόλιν ἐν κινδύνῳ γεγονέναι τοῦ ἀνατραπῆναι, παρὰ γῆν οὐκ ἐπ' ὀρθοδρομήσασαν, ἀλλ' ἐγκεκλιμένην, ὥσπερ ναῦν καὶ ἐγκαρσίως φερομένην. μεταφέρεται δὲ τὰ ναυτικὰ πρὸς τὰ πολιτικὰ πολλάκις, ὡς καὶ ἐν χρησμῷ τοῦ σόλωνος περὶ πολιτάρχου, (c)

ἧσο μέσην κατὰ νῆα κυβερνητήριον ἔργον
ἰθύνων. ———

ναῦς δὲ καὶ παρὰ γῆν φέρεται, καὶ διὰ πελάγους, ὡς θουκυδίδης ς. (d) ὅρμοις χρωμένους τοῦ τε ἰωνίου κόλπου παρὰ γῆν, ἥ τις πλέῃ, καὶ τοῦ σικελικοῦ διὰ πελάγους.

855. Τῶν δὲ φίλων.) ὅτι ἄφιλον τὸ δυστυχές. (a) καὶ νῦν εἴρηται, κατὰ τὸ παροιμιῶδες ἔπος, (b) ὡς οὐδεὶς οὐδὲν ἔχοντι φίλος. ἀποστρέφει τὸν αὐχένα, καὶ τοὺς ὀφθαλμοὺς, πᾶς τις ἐμὲ καταννοήσας ἐν δεινοῖς ὄντα· εὖ πράττοντα δὲ πολλοὶ φιλοφρονοῦσί τε καὶ ἀσπάζονται.

859. οἵ με φίλ.) ἐταιρικὸν ἐπίγραμμα, ὡς ἀπὸ γυναικός. οἱ μὲν φίλοι, φησὶ, τῶν φαινομένων, ἤγουν λαμπρῶν,

πρων, καὶ ἐπιφανῶν ἀνδρῶν, προδιδοῦσιν ἐμέ, καὶ διδόασιν οὐδέν. ἐγὼ δὲ ὑπό τι νύκτα περιοῦσα, καὶ ὑπ' ὄρθρον, τουτέστι τῆς ἕω ἀνερχομένης ἐκοῦσα, οὕτω ὄφελός τι εὑρίσκω ἐμαυτῇ. τὸ δὲ ἦμος, ἀλεκτρυόνων φθόγγος ἐγειρομένων. ἐλλιπές· νοητέον δὲ, γίνεται, ἢ ἐξακούεται, ὅτε φωνοῦσιν οἱ ἀλεκτρυόνες, τότε οἴκαδε ἄπειμι· ἢ οὕτως, οἱ φίλοι, διὰ τὸ φαίνεσθαι παρ' ἐμοί, ἤγουν φανερῶς ἐμοὶ συνεῖναί τινας ἀεὶ, οὐδὲν ὠφελεῖν ἐμὲ βούλονται. ἐγὼ γοῦν προαιροῦμαι κλέπτειν τὰς συνουσίας, καὶ λαθεῖν τὰ ἑταιρικὰ τῷ διὰ σκότους φοιτᾶν πρὸς τὰς ἐργασίας.

863. Πολλοῖς ἀρκεῖς.) ὅτι κυρίως ἀρετὴν εἰρήκασιν τὴν κατὰ τὸν πόλεμον ἀλκὴν, δῆλον. ἀντιπαρέθηκε δὲ ἐνταῦθα ὁ ποιητής, τὸν πλοῦτον καὶ τὴν ἀρετήν. πολλοί, φησι, πλουτοῦσιν, οἱ οὐθ' αὑτοῖς χρήσιμοί εἰσιν, οὔτε τοῖς φίλοις. οἱ δ' ἀγαθοὶ ἄνδρες ἀεὶ ἔνδοξοί τ' εἰσὶ, καὶ σωτήριοι. τὸ βέλτερος, ὠφέλιμος. ἐσχημάτισται δὲ ἤτοι συγκριτικῶς, ἢ ῥηματικῶς, ὡς τὸ φέρτερος. τὸ, οὐδὲν ἐών, ἐν παρενθέσει, ἤγουν, οὐτιδανὸς καὶ φαῦλος. ὡς καὶ ἐν ἀνδρομάχῃ εὐριπίδου, (a) σὺ δ' οὐδὲν εἶ.

867. Ἔν μοι ἔπει.) μετὰ κατάρας ἰσχυρίζεται, ὅτι εὖ τοὺς φίλους ποιήσει, καὶ κακῶς τοὺς ἐχθρούς. εἰ δὲ μὴ, ἐπαρᾶται αὐτῷ ἐμπεσεῖν τὸν οὐρανὸν τὸν σιδαρὸν καὶ στερεόν, ὃς ἐγένετο φόβου αἴτιος (a) τοῖς παλαιοῖς διὰ τὴν δεισιδαιμονίαν. τὸ δ' ἔσομαι ἀνίη καὶ πῆμα, βλαβερὸς καὶ ἀνιαρὸς γενήσομαι.

871. οἴνῳ τὰ μέν.) περὶ τῆς οἰνοποσίας αὖθις ἐποιήθη

τάδε, ὁμοίως τοῖς πρότερον, φησὶ γάρ, ὅτι καλὸν εἴη αἰ τὸ οἰνοποτεῖν, καὶ ἀγαθὸν διὰ τοῦτο μήτ' ἂν ψέξειέ τις μέτρια φρονῶν, μήτ' ἐπαινέσειε. μετὰ ταῦτα ἐκκεῖνται ἐν ἐνίοις τῶν ἀντιγράφων δύο στίχοι οὗτοι· (a)

ἡβώοις φίλε θυμέ, τάχ' ἄν τινες ἄλλοι ἔσοιντο
ἄνδρες, ἐγὼ δὲ θανὼν γαῖα μέλαιν' ἔσομαι.

παραίνεσις δ' ἐστὶν ἥδε, ὅτι ἀπόναυσθαι δεῖν τῆς ἡλικίας νέας οὔσης καὶ ἐπιτηδείας πρὸς τὰς ἡδονικὰς ἀπολαύσεις. θνήσκειν γὰρ καὶ τοὺς ἡβῶντας, καὶ μὴ πάντας ἐξικνεῖσθαι ἐπὶ τὴν ἀνδρικὴν ἀκμήν.

875. τὸν οἶνον τὸν ἐυῆς κορυφῆς ἀπὸ τηΰγ.) φιλοφρονητικὸν τὸ ἐλεγεῖον. καλεῖ δὲ ὁ ποιήσας ἑταῖρόν τινα πρὸς πότον οἴνου ἰδιοχώρου. εἰώθασι γὰρ ἀγάλλεσθαι οἱ ἄνθρωποι μάλιστα τοῖς οἰκείοις τῶν καρπῶν. ὁ δὲ ταΰγετος λέγεται καὶ οὐδετέρως, τὸ ταΰγετον, ὄρος λακεδαιμόνιον. ὄρεος ἐν βήσσησι, ἤγουν βήσσαις, τόποις ὑψηλοῖς μὲν, ἀβάτοις δ' ἀμπελοφόροις. ἐφύτευσε δέ, φησι, τὰς ἀμπέλους ὁ θεοφιλὴς γέρων θεότιμος, ὅστις ποτ' ἦν οὗτος ἐπάρδων καὶ ποτίζων ὕδατι προχετευομένῳ ἐκ πλατανῶνος· τοῦτο γὰρ δηλοῦν τὸ ἐκ πλατανιστοῦντος δοκεῖ. μέμνηται δὲ καὶ χωρίου καλουμένου πλατανιστοῦντος ἐν λακεδαίμονι (a) ὁ παυσανίας. ὁ δὲ πλάτανος καὶ πλατάνιστος, δένδρον ἐστὶ (b) πλατύφυλλον, καὶ (c) χαῖρον διυδατευόμενον, φύεταί τε ἐν τόποις διύγροις. ὅθεν καὶ νῦν τὸν ὀχετείαν μεμνῆσθαί φησι.

881. εἰρήνη καὶ πλοῦτος ἔχοι.) οἰκεῖον ὅτι ἐξεῖναι σχολάζειν

ταῖς

ταῖς ἡδοναῖς ἐν εἰρήνῃ. οὐκ ἔστιν ἐμοὶ προσφιλής, φησιν,
ὁ πόλεμος. τὸ δὲ μὴ λίαν ἔχε τὸ οὖς ἄνω, ἤγουν προσ-
έφώνει κήρυκος, προσφωνητικόν ἐστι, καὶ τὸν ἑταῖρον
ἀποστρέφει τῆς ἐπιθυμίας οὐκ ἀναγκαίου πολέμου. ἐν ἱστο-
ρίαι κήρυκας μακρὰ βοῶντας, εἴη ἄρα μὴ ἀνὰ τὸ οὖς ἔχειν
τοὺς κήρυκας. τουτέστι, μὴ πρόσεχε τὸ οὖς αὐτοῖς.

885. ἀλλ' αἰσχρὸν.) παρενεπλάκη ἐνταῦθα τὸ παρακλη-
τικὸν τοῦ μάχεσθαι τοὺς ἐν παρασκευῇ πολέμου γεγονό-
τας. αἰσχρόν φησ' ἐστι, φεύγειν τὸν πόλεμον τὸν αἴτιον
ὄντα δακρύων, διὰ τοὺς φόνους, ἐπειδὰν ἐν ὅπλοις καὶ
ῥιπτές τις ἤδη γένοιτο.

887. Οἴμοι ἀναλκί.) σχετλιαστικὸν διὰ τὰ τοῦ πολέμου
κακά, ὧν λέγει αἴτιον γεγονέναι τὸ φυγαδευθῆναι τοὺς ἀ-
γαθοὺς τῶν πολιτῶν, καὶ κυβερνήτας γεγονέναι τοὺς πο-
νηρούς. κήρινθος ἡ πόλις εὐβοίας, ὡς ἐν καταλόγῳ, (a)
κήρινθόν τ' ἔφαλον. τὸ δὲ λήλαντον καὶ αὐτὸ τῆς εὐβοίας,
καὶ περὶ τοῦτο πεδίον ληλάντιον ἐκλήθη, ὡς καλλίμα-
χος ὕμνῳ εἰς δῆλον, (b)

—— κεῖθεν δὲ διαπλώουσιν ἀβάντων
εἰς ἀγαθὸν πεδίον ληλάντιον. ——

οἰνόπεδον δέ, ἀμπελοφόρον. κείρει), ἤγουν φθείρεται
τιλλόμενον. φεύγουσιν οἱ ἀγαθοί, φυγάδες εἰσιν οἱ βελ-
τίους. διέπουσι δέ, ἤγουν κατέχουσι τὸ κῦρος οἱ φαῦλοι.
ἐξήνεγκε δὲ ἔξαν παροιμιώδη, κατὰ τῶν τυραννικῶς
καὶ ὠμῶς προστατούντων, ἢ καὶ πανούργως ἀποστερούντων
τὴν τῶν πολιτῶν ἐλευθερίαν μιμούμενοι τὰς κυψέλας τῶν

ἠετίωνος καὶ περιάνδρου τοῦ κυψέλου ἀνοσιουργίας, ὧν καὶ τοὐπίγραμμα κατεύχεται ὄλεθρον ἐν ὀλυμπίᾳ, (c)

αὐτὸς ἐγὼ χρυσοῦς σφυρήλατός εἰμι κολοσσὸς,
ἐξώλης εἴη κυψελιδῶν γενεά.

ἔχω δ' ἐν τῷ παρόντι οὐδὲν εἰπεῖν ἄλλο, οὔτε περὶ τοῦ ποιήσαντος ταῦτα, οὔτε περὶ τῶν ἐμπεριειλημμένων ἱστοριῶν τὸ κυψελλίζον, ὡς φιλιππίζον, μηδίζον, τὰ τοῦ κυψέλου φρονοῦν, ἢ ἐπαινοῦν, ἢ μιμούμενον γένος.

891. Γνώμης δ' οὐδέν.) ὅτι τὸ εὖ καὶ κακῶς πᾶσι πάρεστι, δεῖ οὖν θηρᾶσαι τὸ εὖ, καὶ ἐᾶσαι τὸ κακῶς· καὶ μὴ περιπλέκεσθαι μὲν τοῖς κακοῖς, ἀποδιοπομπεῖσθαι δὲ τἀγαθά. τοῦτο δή ἂν ἔργον τῆς ἀγνωμοσύνης, τουτέστιν ἀνοίας καὶ ἀφροσύνης. ἐκεῖνο δὲ γνώμης, ἤγουν συνέσεως καὶ φρονήσεως.

893. Κύρνε μὴ ἀνδράσι πάντα κατ.) δυσέκμαρτος ὁ νοῦς τῆς ἐλεγείας, καὶ ἀσυνάρμοστα τὰ ἔπη. ἐμοί τε δοκεῖ οὐ μόνον ἀδιόρθωτα, ἀλλὰ καὶ ἐκ κώλων τινῶν ἀτελῶν συμπλοκὴν εἰληφότα. ἔοικε δ' ὅμως τὰ ἐκλελειμμένα ἐνταῦθα παραινέσει τινὶ τοῦ μετρίως φέρειν δεῖν τὰ κατὰ τὰς ἀνθρωπίνας συνουσίας συμβαίνοντα, καὶ μὴ χαλεπαίνειν, ἤγουν ὀργίζεσθαι κατὰ πάντα, γιγνώσκοντα ὡς οἷος ἑκάστου ὁ νοῦς ἐντὸς τοῦ στήθους, τοιαῦταί εἰσι καὶ αἱ πράξεις. γράφεται γὰρ καὶ ἀντὶ τοῦ αὐτὸς ἐνὶ στηθ. ἐντὸς ἐνὶ στηθ. πρὸς δὲ τὸν δίκαιον καὶ τὸν ἄδικον προσφέρεσθαι ἐξ ἴσου, τοῦτ' ἂν ἐπῆ τοῖς βροτοῖς, ἤγουν γένοιτο παρ' ἀνθρώποις μέγα πῆμα, καὶ κακόν. ζητείτω γοῦν καὶ ἄλλος τις ἔτι

τούτων

-ύτων πέρι, καὶ ὅσ' ἕτερα ἀμφίβολον καὶ ὕποπτον ἔχει
τὴν ἔκθεσιν, ἐνεφανίσαμεν. τὸ δὲ χαλεπαίνειν γινώσκειν,
εἴη ἂν κατὰ ἀντίπλωσιν, ὅμοιον τῷ, (2)

φημὶ γὰρ ἐν καταπνεῦσαι ὑπερμενέα κρονίωνα,
ἀστράπτων ἐπιδέξια. ——

897. Εστι τὸ μὲν.) ἀποφαίνει τὸ δίστιχον, ὅτι ἀνώμαλος βίος τῶν ἀνθρώπων, καὶ ὅτι οὐδεὶς διαπάντα ἀναμάρτητος. ἐπὶ γὰρ βαίνει, κατὰ πίνδαρον, (2) καὶ λάθας ἀτέκμαρτον νέφος, καὶ παρέλκει πραγμάτων ὀρθὰν ὁδὸν ἔξω φρενῶν.

899. Οστις ἀνάλωσιν.) Διὰ πολλῶν ἐπαινεῖ ὁ ποιήσας αὐτὰ τὴν τῶν ἀναλωμάτων μετριότητα, ἥτις εἴη ἂν δαπάνη ἐλευθέριος, οὕτως ἐπαρκοῦντές τινος ἑτέροις, ὥστε μὴ ἐνδεῆ γενέσθαι αὐτὸν τῶν ἀναγκαίων. προσπεφώνηται δὲ δημοκλεῖ τινι, καὶ συμφωνεῖ τούτοις τὸ ὡς λουκιανὸν ἀναφερόμενον τόδε, (2)

ὡς τεθνηξόμενος, τῶν σῶν ἀγαθῶν ἀπόλαυε·
ὡς δὲ βιωσόμενος, φείδεο σῶν κτεάνων.
ἔστι δ' ἀνὴρ σοφὸς οὗτος, ὃς ἄμφω ταῦτα νοήσας,
φειδοῖ καὶ δαπάνῃ μέτρον ἐφηρμόσατο.

νοῦς· ὅστις τηρεῖ, ἤγουν φυλάσσει τὴν ἀνάλωσιν θηρῶν καὶ ἀγρεύων καὶ διώκων, (εἰ μᾶλλον τηρῶν, κατ' ἀνάληψιν) τὰ ἴδια χρήματα, τουτέστιν, ὁ ποιούμενος τὰς δαπάνας συμμέτρους καὶ κατὰ τὴν οὐσίαν, οὗτος τοῖς συνετοῖς δοκεῖ ἄριστος. τὸ κυδίστην, περιφανεστάτην. τὰ λοιπὰ αἰτιολογικῶς προσῆπται. εἰ γὰρ οἶδέ τις

ὅσον χρόνον ζῆν εἵμαρται αὐτῷ. δεῖ ἂν εἶχε τὸ μακρόβι
φείδωλόν τε καὶ φυλακτικὸν εἶναι τῶν ὑπαρχόντων, ὥστ
ἔχειν αὐτὸν ἐπαρκέσαι ἑαυτῷ, κατὰ τὸν βίον καὶ ἐν τῷ γή-
ρᾳ. νῦν δέ, φησιν, ἄδηλος ἡ τελευτὴ ἅπασι. κἀγὼ διὰ
τοῦτο δάκνομαι. ἤγουν ἀλγῶ καὶ λυποῦμαι κατὰ τὴν ψυ-
χὴν, καὶ δισταγμοῖς περιέχομαι, ἑστηκὼς ἐν τριόδῳ τῶν
λογισμῶν. ἔμπροσθεν γὰρ ἐμοῦ δύο ὁδοὺς καθορῶ, σκέπτο-
μαι τοίνυν ποτέρωτε πρότερον βαδίζω· ἤτοι τὴν τῆς φει-
δοῦς, ἐπιπόνως καὶ ταλαιπώρως καὶ γλισχρῶς διαιτώμε-
νος· ἢ τὴν ἑτέραν τῆς ἡδονῆς καὶ τῶν εὐπαθειῶν, ἐν τῷ ἰδιο-
πραγεῖν καὶ φεύγειν τὴν πρακτικὴν ἀσχολίαν, καὶ ζῆν ἐμαυτῷ.
κακότητα ἐνταῦθα εἴρηκε τὰ λυπηρὰ καὶ ὀδυνηρὰ τῶν
συμπτωμάτων, ὡς τὸ, (u)

αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσι.

παρεπτιολόγηται γὰρ καὶ ταῦτα ἐπ' ἀμφότερα. ἑώρακα
γάρ, φησιν, ἐγὼ, τῶν σκνιπῶν καὶ κυμινοπριστῶν καλου-
μένων ἕνα, ὃς καὶ τῆς ἀναγκαίας τροφῆς ἀπεχόμενος,
αὔξων διετέλει τὰ χρήματα. οὗτος δὲ ὅμως πρὶν ἐκτε-
λέσαι, ἤγουν πληρῶσαι τὴν ἐπιθυμίαν, ἀπέθανε, καταλι-
πὼν τὰ ἐπισεσωρευμένα κτήματα τοῖς ἀλλοτρίοις, καὶ
τυχοῦσιν. (τὸ, οὑπιτυχὼν, κατὰ συναλοιφὴν ὁ ἐπιτυ-
χών.) ὥστε τὸν πόνον μάταιον γενέσθαι, καὶ αὐτὸν μὴ
καταλιπεῖν τὰ ἑαυτοῦ, οἷς ἤθελεν. πάλιν δέ, φησιν, ἄλ-
λον ἑώρακα ἀσωτευόμενον, καὶ πάντα ταῖς σωματικαῖς
ἡδοναῖς ὑπηρετοῦντα, ὃς τὴν οὐσίαν διατρίψας, τουτέστι
διαφθείρας καὶ κατεδηδοκὼς, ἤγουν ἀναλώσας ἅπαν-

τα,

, διότι θνητὸς γενόμενος, τερπόμενον, ἔφη, δεῖν ἐν-
ταῦθα διαζῶντα, οὕτω μετ' ἀπόλαυσιν ἡδέως βιοτεῦ
πάλιν, ἤγουν ἀποχωρεῖν κάτω, ἀλλὰ καὶ εἰσέτι ζῶν
ἐσίας ἀπολαύσας, καὶ λοιπὸν πενιῶν πτωχεύει, ἤγουν
τίζει, ὁπόταν ἴδῃ τινὰ τῶν φίλων. συλλογίζεται τεί
παήσας, ὅτι βέλτιστόν ἐστι δαπανᾶσθαι μὲν ὅσα χρή,
ἀμελῶς ἢ ἔχειν τῶν χρημάτων, κατὰ δὴ τὰ χρυσᾶ
ῶτα, (c)

μὴ δαπανᾶν παρὰ καιρὸν ἀπειροκάλως ἀδαήμων,
μηδ' ἀνελεύθερος ἴσθι, μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον.

καὶ τὸ συμπέρασμα αὖθις περιβολὴν ἔχει τῶν ἀγα-
, ἅμα τοῖς πλουτοῦσιν, ἢ καὶ μὴ πενομένοις ἕπεται. εἰ
κάρης, φησί, πρότερον, οὐκ ἐλίποιο ἂν ἄλλοις
ρον γένοιο. οὐ μεταδοίης καμάτου, ἤγουν οὐκ ἂν ἔχοις
γίαν τυγχάνειν ἄλλοι καὶ λυπεῖν τῷ προσαιτῆσαι. οὔτε
εἶεν τέλοις, ἤγουν δουλεύσειας ἂν ἐν τῇ πτωχείᾳ, οὔτ'
διδράσκοι σε τὰ χρήματα γηραλέον, ἤδη γενόμε-
ἐν ᾧ γήρᾳ, τουτέστιν ἡ ἡλικία, καὶ κατάστασις ὅτι μά-
ς δεῖ χρημάτων. ἢ ἐν τῷδε τῷ γήρᾳ, τουτέστιν, οἷοι νῦν
ἄνθρωποι, οὐ πάνυ τι μεταδοτικοί, καὶ ἐλευθέριοι. τῶν
λουτούντων (d) πολλοὶ φίλοι εἰσί, καὶ τὸ πένεσθαι ἄ-
οι καὶ ὁ πρότερον ἀγαθὸς ἀνὴρ εἶναι δόξας. πένης γενό-
ος οὐκέτι ὁ αὐτός, ἀλλ' ἕτερός τις εἶναι δοκεῖ. πένης
δὲν εὐγενὴς ἀνήρ, (e) κατ' Εὐριπίδην. ταῦτα μαθὼν
φειδέσθω τις τῶν χρημάτων, ὅτι οὐ μόνον ἐν τῇ ζωῇ
ελητοι οἱ πένητες, ἀλλὰ καὶ θανόντας ποθεῖ οὐδείς.

οὕτω καθ' ὑπερβολὴν κατεσκεύασεν ὁ ποιητής. ἔτι παντάπασι κακὸν καὶ φευκτὸν τὸ ἀχρήματον, καὶ ἐν τῷ βίῳ καὶ μετὰ τὸν θάνατον. τὸ, ἐπεὶ οὐδὲ, εἴη ἂν ὅμοιον τῷ, (εἰ λάθοιτ' ἢ οὐκ ὀνήσει), σιωπήσει τινὶ τῶν φωνηέντων.

929. Παύροις ἀνθ.) ἐγκώμιον τῆς τιμιωτάτης συζυγίας, κάλλους καὶ ἀρετῆς. ἣν καὶ ὅμηρος θαυμάσας ἐν τοῖς πρώτοις δῆλός ἐστιν, ὡς ἐν τῷ (a) ἀχιλλεῖ, καὶ δὴ καὶ τῷ (b) ὀδυσσεῖ ἀεί τιν' εὐμορφίαν περιθεὶς, καὶ τῆς ἐναντίας δυσμορφίας φημὶ καὶ ἀδρανίας, ὡς αἰσχίστην τὴν τοῦ (c) θερσίτου εἰκόνα διαπλάσας. ἔστι δὲ σπάνιον τὸ κτῆμα, ὥσπερ πάντα τὰ τίμια, διὰ τοῦτο καὶ (d) μακαρίζονται οἱ λαχόντες αὐτοῦ. καὶ τοιοῦτον μὲν τιμῶσιν ἰσήλικες ὁμοιοπαθῶς. οὐ μόνον δὲ παραχωροῦσι τῶν τόπων αὐτῷ οἱ κατ' αὐτὸν, ἤγουν οἱ ὁμήλικες, ἀλλὰ καὶ οἱ πρεσβύτεροι. ἔτι δ' ἐν ἐνίοις προσέκειντο οἱ δύο στίχοι οἵδε, οἳ καὶ φέρονται ὡς (e) τυρταίου,

> γηράσκων δ' ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτὸν
> βλάπτειν, οὔτ' αἰδοῦς, οὔτε δίκης ἐθέλει.

ἐν οἷς παρίσταται, ὅτι καὶ τὸ γῆρας τοῦ κάλλους κεκραμένον ἀρετῇ ἐσχηκότος, αἰδέσιμόν τε καὶ ἀπράγμον γίνεται, ὅπερ ἐστὶν ἐπὶ τὸ πολὺ ἐν τοῖς ἄλλοις εὐκαταφρόνητόν τε καὶ οἷον περιπηλακίζεται δι' ἀδυναμίαν. ἐν ἐνίοις ἀντὶ τοῦ πάντες μὲν, γράφεται, πάντες μιν.

933. οὐ δύναμαι.) ἀστεϊσμά τι συμποτικὸν τοῦτο. ὁ δὲ νοῦς· κωμάσας ἐχθὲς, σήμερον ἄδειν ἐν σοὶ μῶν, ὥσπερ αἱ ἀηδόνες, οὐ δυνατός εἰμι. οὐ μέν τοι πρόφασιν ποιοῦμαι τὸ

μὴ

κὴ παρεῖναι τ̃ αὐλητὴν, ἀλλ' ὅτι ἀπελείφθην ὑπό τινος τ̃ ἑταίρων, τ̃ σοφῶν· οὐκ ἐπιδευόμενος σοφίης, οὐκ ἐνδεὴς ὢν σοφίας.

937. Εὐχόμεν ἄν.) ἄλλο συμποτικὸν ἀστεῖσμα. παρ' αὐλητῆρι, φησι, ςὰς, ἄσομαι. καὶ τραπόμενος ἐπὶ τὰ δεξιὰ, προσεύξομαι τοῖς θεοῖς.

937. Εἶμι παρὰ σάθ.) ἰσχυρίζε̃) περὶ ἀληθείας καὶ δικαιοκρισίας. προβαίνω κατ' εὐθεῖαν, φησὶν, ὁδὸν, καὶ οὐδαμόσε ταύτης ἐξίςημι.

941. Πατρίδα κοσ.) φησὶν ὁ ποιήσας, ὅτι βούλε̃) προσθεῖναι τῇ πατρίδι αὐτῦ τῇ λιπαρᾷ, ἤγουν περιφανεῖ καὶ λαμπρᾷ πόλει, ἤ τινι οὖν, τοῦτον τ̃ κόσμον, ὥστε μήτε τῷ δήμῳ ἐπιτρέψαι ἑαυτὸν, μήτε πείθεσ͂ τοῖς πονηροῖς τ̃ πολιτῶν.

943. Νεκρὸν ὑπ' ἐξ ἁλ.) γρῖφός ἐςι καὶ αἴνιγμα τὸ λεγόμενον. δοκεῖ ͂ ἀλληγορεῖσ͂ τὸ ἀδυνάτον, ἢ καὶ ἀπίθανον, καὶ ἄτοπον, καὶ ψευδὲς προδήλως. οἴοιτο δ' ἄν τις ὅμοιον εἶναι τούτῳ τ̃ ὑπ' ἀθηναίε (a) ἐκτεθέντα γρῖφον τόνδε·

> πέντ' ἄνδρες δέκα νηυσὶ κατέδραμον εἰς ἕνα χῶρον,
> ἐν ͂ λίθοις ἐμάχοντο, λίθος δ' οὐκ ἦν ἀνελέσθαι,
> δίψῃ δ' ἐξόλλυντο, ὕδωρ δ' ὑπερεῖχε γενείου.

ὁ νοῦς· οὐκ ἐγευσάμην αἵματος, ταραχθέντος νεκροῦ. τὸ ἀλκὶ μεταπλασθὲν ἐκ τ̃ ἀλκῆ. καὶ ἑλὼν πόλιν, οὐκ ἐπόρθησα· καὶ ἡνιοχήσας, οὐχ ἥψάμην ἅρματος, καὶ ὅλως πράξας, τελέσας, δράσας, ἀνύσας, οὐκ ἔπραξα, ἐτέλεσα.

λετα, ἔδρασα, εὕυσα. τί ἂν ἐγένετο; δῆλον δὴ, ὅτι ἤτοι ἐδὲν, ἢ τῶν ἀτοπωτάτων τι, ἢ καὶ ὅτι ἀναισχυντῶν τις τολμᾷ λέγειν, ὃ μήτ' ἐγένετο, μήτε γένοιτ' ἄν.

949. Δειλὺς δ' εὖ ἕρδ.) τὸ δίστιχον κωλύει εὖ ποιεῖν τοὺς ἀναξίους, τουτέστι τοὺς ταλαιπώρους καὶ ἀθλίους. καὶ ἅμα πονηροὺς ὄντας. καλεῖ γὰρ δειλοὺς τοὺς τοιούτους, οὓς τινα εὐεργετῶν τις ἀντιλήψεται, φησι, δύο κακὰ, χηρώσας αὐτὸν τῶν ἰδίων χρημάτων, καὶ ἀχαριστίαν προσκτησάμενος.

951. Εἴ τι παθὼν.) καὶ τοῦτο εἰς τοὺς ἀχαρίστους ἐξετυπώθη. δικαίως ἐν εἰρωνείᾳ, ἤν, φησι, εὖ παθὼν παρ' ἐμοῦ ἀχάριστος ἦς, δεόμενός ποτ' ἐμοῦ αὖθις πάντως λήψῃ τῆς ἀμοιβῆς, τουτέστι, ὑφέξεις τιμωρίαν ἀμελούμενος καὶ αὐτὸς ὑπ' ἐμοῦ. ὡσαύτως καὶ τοὺς τοιούτους φασὶν ἀπειλητικῶς, εἴ ποθ' ἡ σὴ ὁδὸς ἐπὶ τὴν ἐμὴν ἐμπέσοιτο, γεφύραν εἰς ὕδωρ κατενεχθῆναι.

953. Εἴ τι μὲν αὐτὸς ἔπινον.) αἰνιγματώδη καὶ ταῦτα, ἠλληγόρηται ἡ μεταβολὴ καὶ ἀπόστασις φιλίας, ἢ ἑτέρων πραγμάτων. ὁ νοῦς. ἕως ἔπινον ἐκ κρήνης κυανόχροος ἐχούσης τὸ ὕδωρ, ἡδῦναι ἐδόκει τῷ ποτῷ, ἔτι καθαρῷ ὄντι. νῦν δὲ ζητήσω ἄλλο τι ἢ πηγαῖον ἢ ποτάμιον νᾶμα. διότι τετάρακται τὸ πρότερον πινόμενον, καὶ τὸ διαυγὲς ὕδωρ βορβόρῳ ἀναμέμικται. τὸ γὰρ ὕδος αἰολικὸν, νῦν τὸ πηλῶδες ὑγρὸν σημαίνει. ὡς καὶ παρ' Ἡσιόδῳ, (2) γαῖαν ὕδει φύρων.

Μή

957. Μήποτ' ἐπ.) παραινετικὸν τῆς εὐλαβείας ἐν τῷ παινεῖν τινας, καὶ μετανοητικὸν, ὅτι ἐν τούτῳ αὐτὸς φυλακτότερος ἐγένετο. γράφεται δὲ θυμὸν, ἐν ἐνίοις, ἔτι δὲ ῥυθμὸν, ὅπερ καὶ ἀληθέστερον δοκεῖ. ὁ νοῦς, μήποτε γνοὺς τινὸς ἐπαινέτης περὶ τοῦ σαφῶς γνωρισθῆναί ποι ὅπως τ' ἔχει τὴν ὀργὴν, ἤγουν ὁρμὴν καὶ ὄρεξιν, καὶ θυμὸν ἤγουν τὸ κινητικὸν τῆς ψυχῆς, καὶ ὅλως τὸν τρόπον καὶ τὸ ἦθος. πολλάκι γὰρ, ὡς εἴρηται ἐν τοῖς ἄνω, (a) ὤμην ἐξαπατῶσ' ἰδέαι, καὶ πολλοὶ κακοήθεις καὶ ὑπούλοι πεφυκότες, ἐπικαλύπτουσι τὴν μοχθηρίαν, καὶ ἐπιθέασί τε πον πρὸς τὰ παρόντα ἀεὶ ἐφαρμόζονται. τοῦτο γὰρ εἴρηκεν ὁ ποιητὴς θυμὸν ἐφημέριον, τουτέστιν ἀστάθμητον καὶ πρόσκαιρον, ὃ δὲ πάντ' ἀκούων πάντ' ἀναπασχόνοι, (b) κατὰ τὸν σοφοκλέα. ὃς καὶ κατὰ τὸν εὐριπίδη, (c) κακοὺς βροτῶν ἐξέφηνε, πειραθεὶς κάτοπτρον. δὲ λοιπὰ, ἐγὼ γὰρ ἥμαρτον, φησὶ, καὶ τῆς γνώμης [illegible]λος ἐγενόμην, σπεύσας ἐπὶ τὸ ἐπαινεῖν σε, πρὶν δαῆναι, ἤγουν καθεωρακέναι καὶ γνῶναι τὰ σὰ ἤθη κατὰ [illegible]ντα, ἤγουν πάντως. καὶ νῦν διέχω, ἤγουν ἀποσαλεύω, ὥσπερ ναῦς φυλαττόμενος μή πως συγκρούσαιμί σοι [illegible]εύρτας.

965. Τίς δ' ἀρετή) κατὰ τὴν δόξαν θηρώντων τῆς πολυουσίας, ἧς ὀρεγόμενος καὶ δαρεῖος ὁ σὺν μάγους κα[illegible]ών, ἤθελε γραφῆναι ταῦτ' ἐπὶ τοῦ μνήματος. ἠδυνάμην οἶνον πίνειν πολὺν, καὶ τοῦτον φέρειν καλῶς. [illegible] καὶ ἆθλα προὔκειτο περὶ τοῦ πίνειν, δηλοῖ καὶ τὸ

εἰσφερόμενον ὑπ' ἀθηναίοις ἐν τῇ δεκάτῃ (b) περὶ ἀναχάρ-
σιδος, ὡς ἐν τῷ πότῳ ἄθλου τιθέντος περὶ περιαν-
δρῳ, ᾔτησε τὸ νικητήριον πρῶτον μεθυσθεὶς τῶν συμπα-
όντων, ὡς ὄντος τέλους τούτου καὶ τῆς ἐν πότῳ νίκης, ὥσπ-
καὶ τῆς ἐν τῷ τρέχειν. ἠγάλλοντο δὲ οἱ πάλαι ἕλληνες ἐ-
ἧττον τῷ νικᾷν ἐν τῷ πίνειν, καὶ σπᾶν οἶνον πολὺν, ἤπ-
οἱ νῦν τεύτονες, καὶ τὰ ἐπέκεινα προσάρκτια ἔθνη. ..
μόνον τὸν ἀμπελινὸν διόνυσον, ἀλλὰ καὶ κριθινὸν, καὶ πυ-
νὸν, καὶ μελίτινον ἐκθειάζοντες.

967. οὐδεὶς ἀνθρ.) παράγγελμα ἡδονικόν. παραινεῖ ..
ἀπολαύειν τοῦ ἐνταῦθα βιότου, καὶ εὐφραίνειν ἑαυτὸν κ..
παθοῦντα, ἐπειδὴ πᾶσιν ἀνθρώποις κατθανεῖν ὀφείλε-
οἱ δ' ἅπαξ θανόντες ἀναίσθητοι τὸ λοιπόν εἰσι, κατε-
χθέντες εἰς τὸ ἔρεβος καὶ χάος, καὶ τὸ κατωτέρω σκ..
τος, ἔνθα γαμετή ἐστιν ἅδου ἡ περσεφόνη. ἐκεῖ δὲ ο..
κιθάρας οὔτε αὐλῶν φθόγγος τέρψιν παρέχεται. οὔτε ..
νος εὕρημα τοῦ διονύσου πινόμενος διαθερμαίνει αὐ..
τὸν εἰσαιρόμενον, ἤγουν προσφέροντα. διὰ τοῦτό φησ..
ὄφρ' ἂν παρείη ἁρμοδία πρὸς τὸ εὖ παθεῖν ἡλικία τ..
νεότητος, καὶ μηδέπω βαρύνητο τὸ σῶμ' ὑπὸ γήρω..
μήτε τρέμοι ἡ κεφαλὴ, κατὰ τὴν κραδίην, ἢ ὡς ..
ἄλλοις, τῇ κραδίῃ, ἤγουν ἐν τῇ καρδίᾳ, εὐφραινόμεν..
ἐμφορηθησόμεθα τῶν ἡδέων.

973. Μή μοι ἀνὴρ.) περὶ τῆς προσποιήτου φιλίας εἴρητα..
ταῦτα. μισῶ τοὺς λόγῳ φίλους ὄντας, τῷ δὲ ἔργῳ ..
χρὴ γὰρ τὸν ἀληθῆ φίλον κατ' ἀμφότερα ταῖς χερσὶν

ἤγου

ἤγουν τῶν πόνων, καὶ χρήμασιν, ἤγουν δαπανῶν κοινωνίᾳ συμπεύδειν τῷ φίλῳ, καὶ μὴ φιλοφροσύναις τὸ αὐτίκα μόνον τέρπειν τὸν συνόντα, ἀλλὰ φανερὸν εἶναι καὶ εὖ ποιοῦντα.

977. Ἡμεῖς δ' ἐν θαλ.) πάλιν παρακελεύεται ἐν τῇ ἡβώσῃ ἡλικίᾳ τῶν ἡδονῶν ἀπολαύειν, ὅτι τάχιστα μαραίνεται τὸ τῆς ἥβης ἄνθος. ὑπερβολικῇ δὲ μεταφορᾷ κέχρηται τῶν διανοικῶν. ὁ δ' Ὅμηρος καὶ ἐξέφρασεν, ἀμφηγηματικώτερον τὴν εἰκόνα, Ἰλ. ο. (a)

> ὡς δ' ὅτ' ἀναΐξῃ νόος ἀνέρος, ὅς τ' ἐπὶ πολλὴν
> γαῖαν ἐληλουθὼς φρεσὶ πευκαλίμῃσι νοήσῃ,
> ἔνθ' εἴην ἢ ἔνθα, μενοινήσειέ τε πολλά,
> ὣς κραιπνῶς μεμαυῖα διέπτατο πότνια Ἥρη.

ἀφίπταταί φησιν ἡ ἥβη ἐνθυμήσεως τάχιον, καὶ δρόμου ἱππικοῦ, καίπερ τῶν ἵππων λάβρως, ἤγουν σφόδρα παροξυνομένων ἐν τῷ τρέχειν, ὅταν φέρωσί τινα σπεύδοντα εἰς δορυσσόον πόνον, ἤγουν πόλεμον, ὅπου σείονται καὶ κινοῦνται τὰ δόρατα, ἡδόμενοι τοῖς ἐπιπέδοις χωρίοις, οἷά περ ἐστὶ τὰ πυροφόρα καὶ σιτοφόρα. αἱ δ' ἵπποι, ὥσπερ αἱ ἔλαφοι, αἱ ἄρκτοι, αἱ κύνες, παρ' Ἀττικοῖς (b) ἐπικοίνως λέγονται. προστεθείη δ' οὐκ ἀνοικείως ἐνταῦθα καὶ τοῦτο τοὐπίγραμμα, (c)

> τῆς ὥρας ἀπόλαυε, παρακμάζει ταχὺ πάντα,
> ἓν θέρος ἐξ ἐρίφου τεύχων ἔθηκε τράγον.

983. Πῖν' ὁπόταν πίν.) τὸ ἐν τοῖς πότοις φυλακῆς παράγγελμά ἐστι τοῦτο. πῖνε μέν, φησι, μετ' ἄλλων. ὅταν δὲ

προσ-

περισκόρως καὶ ἀηδῶς ἔχοντος αἴσθῃ σαυτοῦ, τότ' ἀ-
λαβεῖσθαι, μή τις γινώσκῃ βαρυνέσθαί σε ὑπὸ τ οἰ-
ποσίας, τουτέστι φυλάττεσθαι ποιεῖν τι, ἢ λέγειν αἰσχρὰ
τὸ ἄσταθαι, καὶ πρότερον (a) εἴρηται.

985. Ἄλλοτέ τοι πάχ.) ὅτι ἀβέβαια τὰ ἀνθρώπινα,
ὠρισμένα πᾶσιν παθεῖν μὲν, εὖ παθεῖν δὲ θάτερα, κατὰ (
σοφοκλέα, καὶ ὅτι οὐκ αὐτὸς ἀεὶ δαιμόνων παρέστατο
καὶ ὅτι κατὰ πίνδαρον, (b) ἔραι ἄλλοτε ἄλλαι ἐνθυμιῶν
μέτα, καὶ πνοιαὶ ἐς ἄνδρας ἔβαν, κἀνταῦθα εἴρηται. ὁ δὲ νοῦς
ἐνίοτε μὲν, φησι, λυπηθήσῃ παθών τι τ ἀλγεινῶν. ἔσ
δὲ οἷόν τε καὶ χαίρειν σε ἔρδοντα καὶ πράττοντα ὅπως
βούλῃ. νοήσειε δ' ἴσως ταῦτά τις καὶ οὕτως. ἤν τι πά
ὑπ' ἄλλου πάθῃς ὀδυνώμενος, δύναιο πάλιν ἂν κα
δρῶν ἄλλον κακῶς, ἥδεσθαι τῇ ἐκείνου λύπῃ. οἱ γὰρ ἄν-
θρωποι οὐ μόνον αὐτοῖς ἀγαθόν τι ἐξευρίσκοντες, ἀλλὰ κ
τιμωρούμενοι τοὺς ἐχθροὺς, χαίρουσι. τὸ δὲ ἄλλοτε ἄλλος
ἀνὴρ, νοητέον, ὅτι ἄλλοι τινὲς εἶναι δοκοῦμεν εὖ πράττοντες,
καὶ ἄλλοι κακῶς. κατὰ τὸ ὁμηρικὸν, (c)

τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων,
οἷον ἐπ' ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε θεῶν τε.

987. Εἴθ' εἴη σ' ἀκάδ.) προσπεφώνηται ταῦτα ὑπὸ τοῦ
ποιήσαντος, ἀκαδήμῳ τινί. μεγαληγορίαν δ' ἔχει
περὶ τ ἰδίας ὑμνῳδίας, καταφρονητικὴν τοῦ ἀκαδήμου.
ὁ νοῦς· εἴθε σε συμβαίη, ὦ ἀκάδημε, ὕμνον ἄδοντα ἐφί-
μερον καὶ ἡδὺν, ἀγωνίζεσθαι πρὸς ἡμᾶς ᾄδοντας περ-
τεθέντος ἄθλου, καλοῦ δηλονότι παιδὸς ἄνθεντος ἐν

ἴσῃ, τότε γὰρ δηρισάντοιν ἡμῶν, (a) ἤγουν ἐρισάντοιν περὶ σοφίας, τουτέστιν ἐν ἀγῶνι μουσικῆς, μάθης ἂν ὡς κρείττων ἐγὼ ὑμνῳδός εἰμι, ἤπερ σὺ, τοσούτῳ δηλαδὴ ὅσῳ, φερέστεροι οἱ ἡμίονοι τῶν ὄνων.

991. Ημος δ' ἠέλιος.) προτρεπτικὸν ἐπ' εὐωχίαν καὶ ἡδυπάθειαν. οἰηθείη δέ τις ἀντὶ τοῦ λήγοιμεν, ὀρθότερον ἂν γραφῆναι, θίγοιμεν, ἵν' εἴη ἐπιβαλλοίμεθα καὶ ἀψοίμεθα τοῦ δείπνου τῆς μεσημβρίας ἤδη ἐπελθούσης. τότε γὰρ δείπνου καιρὸν πεποιῆσθαι τοὺς παλαιοὺς, δῆλον κἀξ ἄλλου τινὸς ἐπιγράμματος τούτου, (a)

ἓξ ὧραι μόχθοις ἱκανώταται, αἱ δὲ μετ' αὐτὰς
γράμμασι δεικνύμεναι ζῆθι λέγουσι βροτοῖς.

ὅταν οὖν παραγγέλλῃ ὁ ἥλιος, φησι, μεσουρανῶν τὴν μεσημβρίαν, τότε τρεπώμεθα πρὸς εὐωχίας, ὡς ἑκάστῳ φίλον ἂν εἴη, συγχωροῦντες τῇ γαστρὶ ἐμπίπλασθαι παντοίοις ἀγαθοῖσι. θεράπαινις δὲ λάκαινα, ἤγουν σπαρτιᾶτις, ἐξενέγκοι μὲν τὴν χέρνιβα, τουτέστι τὸ ἐπικεχυμένον ταῖς χερσὶν ὕδωρ, καὶ εἰσενέγκοι στεφάνους. γράφεται καὶ στεφάνω. δὲ ἀναδήσοι, ἤγουν περιθείη στέφανον, χερσὶ ῥαδιναῖς, ἤγουν ἁπαλαῖς, καὶ λεπταῖς, καὶ δραστηρίοις.

997. Η δ' ἀρετὴ τόδ' ἄεθ.) τὸ τετράστιχον ἐν τῇ στοβαίου (a) γνωμολογίᾳ, ἔγκειται ὡς τυρταίου ὄν. ἀντὶ δὲ τοῦ σοφῷ, ἐκεῖ τίθεται, νέῳ. λέγει δὲ, ὅτι ἡ πολεμικὴ ἀρετή ἐστι τὸ τολμᾶν ἀδεῶς τῇ συστάδην μάχῃ τοῖς ἐναντίοις ξυμβαλεῖν. τὸ δὲ ἆθλον προκεῖσθαι κάλλιστόν φησι τοῖς νέοις τῶν ἀνδρῶν εἰς τὸ φέρειν καὶ κομίζεσθαι αὐτοὺς ἐκεῖνο,

ἤγουν τὴν δόξαν ἀρετῆς πολεμικῆς. εἶναι δὲ καὶ ξυνὸν, ἤγουν κοινὸν τοῦτο ὄφελος τῇ τε πόλει, καὶ τῷ λαῷ ἅπαντι, ἤν τις ὑποστήῃ τὴν τῶν πολεμίων ὁρμὴν, καὶ ἀμύνηται ὑπὲρ τῆς πατρίδος. ἴσως δέ τις παρεποίησε τοῦτο, μετενεγκὼν ἐπὶ τὰς ἡδυπαθείας καὶ ἀποφήνας, ὅπ ἐν τοῖς εἰρημένοις, εἶναι τὴν ἀρετὴν καὶ τὸ κάλλιστον ἆθλον νομίζοιτ' ἂν ὅστις σοφὸς ᾖ.

1001. Ξυνὸν δ' ἐσθλ.) (a) πάλιν ὑποτίθησι πᾶσιν ἡδυ συλλήβδην, ἐν τῷ βραχεῖ τούτῳ βιοτῷ ζῆν ἡδέως, καὶ μάλιστα ἀπολαύηται τῆς ἡβώσης ἡλικίας. οὐ γὰρ δὶς πέλεται, ἤγουν ἔξεστιν ἀνηβᾶν, ἤγουν τὸ παρηβηκότα τὸ δεύτερον ἔφηβον γενέσθαι, οὐδὲ λύσις, ἤγουν φυγὴ θανάτου δίδοται ἀνθρώποις ὑπὸ τῶν θεῶν. συμβουλεύει τοίνυν, φησὶν, ἐν τῇ ἀνθηρᾷ τῆς ἥβης ὥρᾳ, τῆς διανοίας οὔσης ἀκριβοῦς ἔτι καὶ ἀπηρτισμένης, εὖ πάσχειν τινὰ ἀπὸ τῆς οἰκείας οὐσίας. ἐπελέγχει δὲ κακὸν καὶ οὐλόμενον, ἤγουν ὀλέθριον γῆρας, τουτέστιν ἀποφαίνει οἷοί εἰσιν οἱ γεγηρακότες. πρῶτον γὰρ κεφαλῆς ἄκρας τὸ γῆρας ἅπτεται. κατὰ γὰρ τὸν Θεοκρίτου Θυώνυχον, (b)

—— ἀπὸ κροτάφων πελόμεσθα
πάντες γηραλέοι, καὶ ἐπισχερὼ εἰς γένυν ἕρπει.

1007. Ὦς μάκαρ.) μακαρίζει τὸ ἐλεγεῖον τὸν ἐάσαντα τοῦ βίου τελευτῆς διαζῶντα ἀπραγμόνως, μήτε τοῖς ἐχθροῖς συμπλεκόμενον, κἂν ὑπερτερος γενήσεσθαι μέλλῃ, μήτ' ἀναγκαζόμενον πεῖραν λαβεῖν τῶν φίλων, ἀλλ' ἥσυχον βίον διαπλεύσαντα, καὶ ἀποθνήσκοντα ἐν εἰρήνῃ,

ἐκτὸς

ἐκτὸς γινόμενον ἀγώνων πάντων. τὸ πλῆξαι δέχοιτ' ἄν τις ἴσως ἐνταῦθα ἐνεργητικῶς κείμενον, πρὶν ἀνάγκη πλῆξαι καὶ ἐκφοβῆσαι, καὶ ὑπερβῆναι δή, ἤγουν νικῆσαι σου ἐχθρούς, ἢ καί, πρὶν φοβουμένην τινὰ σου ἐχθροὺς παρελθεῖν, καὶ γενέσθαι ἐκτὸς κινδύνου.

1011. Αὐτίκα μαι.) καὶ (a) πρότερον ἀπωδύρετο ὁ ποιητὴς τὴν ἥβην ἀπανισταμένην καὶ προσερχόμενον τὸ γῆρας. καὶ νῦν φησι, ὅτι κατὰ χροιὰν καὶ τὸ σῶμα, ἢ τὴν χρῶτα, ῥεῖ ἱδρὼς ταρασσομένου αὐτοῦ τῇ ἐνθυμήσει, ὅτι βραχυχρόνιος γίνεται ἡ τέρψις τῆς ἡβώσης συνομιλικίας, ὅπερ ὤφειλεν εἶναι πολυχρόνιον. νῦν τ' ἐπ' ὀλίγον. φησί, φαντάζομενον οἷον ὄναρ, ἐξαίφνης ἀπέρχεται τὸ τῆς ἥβης εὔχαρι καὶ τίμιον, πάρεστι δ' ὑπερτέλλον ἅμα τῆς κεφαλῆς τὸ ὀλέθριον καὶ αἰσχρὸν γῆρας. ἐνιαχῇ προσκείμενοι εὑρίσκονται δύο στίχοι ἕτεροι οἵδε·

> ἐχθρὸν ὁμῶς καὶ ἄτιμον ὅτ' ἄγνωστον τιθεῖ ἄνδρα,
>
> βλάπτει δ' ὀφθαλμοὺς καὶ νόον ἀμφιχυθέν.

ἔστι δὲ ψόγος ὅδε τοῦ γήρως.

1017. οὔποτε τοῖς.) λέγει ὅτι οὐ μήποτ' ἂν γένηται ὑποζεύξιος ἐχθροῖς, κἂν βιάζονται ἐκεῖνοι εἰς ὑπερβολήν. νῦν μὲν αὐχένα δύσλοφον εἶπεν, ἤγουν ἀποκρουστικὴν τοῦ ζυγοῦ, ἐν δὲ τοῖς ἄνω (a) ζεύγλην δύσλοφον. ὁ νοῦς, κἂν ἐπιθῶσιν ἐμοὶ ζυγὸν οἱ ἐχθροὶ βαρύτατον, οἷος ἂν γένοιτο ὁ τμῶλος, (b) χρυσοφόρον λυδίας ὄρος, ὅμως γ' ἀπώσομαι τὸ βάρος, καὶ ἀνασπάσω τὸν τράχηλον.

1019. Δειλοῖς τοι.) τῶν ταλαιπώρων καὶ φαύλων ἐν ταῖς

δυσυχίαις ὁ νοῦς καὶ λογισμὸς ἀφανίζεται καὶ ἐκκενοῦται, τουτέστιν, οἱ μὲν τοιοῦτοι τῶν ἀνθρώπων κακῶς πράττοντες, θορυβοῦνται παντάπασιν, καὶ οὐδὲν ἐπινοοῦσι τῶν πρὸ ἔργου, τοὐναντίον δὲ ἀεὶ κατιθύνεται καὶ προχωρεῖ τὰ τῶν ἀγαθῶν πράγματα.

1021. Ῥηΐδιον τοι.) νῦν λέγει, ὅτι παρ' ἀνθρώποις τὶ φαῦλον καὶ ταλαίπωρον χειρώσασθαι ῥάδιον, τὴν δ' ἀρετὴν οὐκέτι. τῶν μοχθηρῶν, φησι, πρᾶξις, ἤγουν συσκευὴ καὶ ἀνασκευὴ ῥαδία. κατὰ δὲ τῶν ἀγαθῶν παλαμᾶσθαι καὶ τεχνάζεσθαι τι, χαλεπόν ἐστι, ἤγουν δύσπρακτον. ὑπολάβοι δέ τις, ἴσως ἐν τούτοις ἐπιτετμῆσθαι ὑπὸ τοῦ ποιητοῦ τὰ ἡσιόδεια ἐκεῖνα, (a)

τὴν μέν τοι κακότητα καὶ ἰλαδὸν ἐστιν ἑλέσθαι,

καὶ τὰ λοιπά· ὥστε τὸν νοῦν εἶναι τοῦτον· κακῶς μὲν πράττειν ἐν τῇ ἀνθρωπίνῃ βιοτῇ εὐπετὲς, τὴν δ' ἀρετὴν μεταχειρίζεσθαι, οὐκέτι, καὶ δοκεῖ τοῦτο ἀληθέστερον.

1023. Τόλμα θυμέ.) παρηγορητικὸν καὶ συσταλτικὸν τῶν διαλογισμῶν ἐν ταῖς δυσυχίαις. ἀπέστραπται δ' ὁ λόγος πρὸς τὸν οἰκεῖον θυμὸν, ἤγουν πρὸς ἑαυτὸν, ἐν ἤθει. ὡς τὸ παρ' εὐριπίδῃ. (a) μὴ δῆτα θυμὲ, μὴ σύ γ' ἐργάσῃ τάδε, καὶ ἐν ἀχαρνῆσι (b) τωθαστικῶς,

ὦ θύμ' ὁρμῆς γὰρ ὡς ἀπωθοῦμαι δόμων,
πολλῶν δεόμενος σκευαρίων, νῦν δὴ γενοῦ
γλίσχρος.

καὶ αὖθις, (c)

ὦ θύμ' ἄνευ σκάνδικος ἐμποριυτέα.

ὁ νοῦς· ὦ θυμὲ, μὴ ἀποδειλιάσῃς ἐν τοῖς κακοῖς καίπερ

ὄντων

ἄλγων ἐκείνων οἵων οὐδ' ἐνεγκεῖν ῥαδίως. ἡ γὰρ τῶν δειλῶν τουτέστιν ἀθλίων καὶ κακοπαθούντων καρδία καὶ διάνοια γίνεται ὀξυτέρα, καὶ ἐρητικωτέρα καὶ ἀγχινουστέρα ἐν τοῖς κακοῖς. ἐναντίον δὲ πῶς τοῦτο τοῖς περὶ ὀλίγου ῥηθεῖσιν, (d) ὅτι νόοι ματαιότεροι τῶν δειλῶν εἰσι δυσπραγούντων, τουτέστιν, ὅτι θραύεται καὶ ἀμβλυώεται τόθ' ἡ διάνοια. ὁ δὲ Θεόκριτος, (e) φησιν, ἐγείρει τὴν πενίαν τὰς τέχνας. πανπιά γὰρ ἐπινοοῦσιν οἱ ἐν δεινοῖς ὄντες πρὸς τὴν τῶν κακῶν λύσιν. τὰ δὲ λοιπὰ παραινετικὰ τῆς μετριοπαθείας καὶ ἀνεξικακίας. τοῖς ἀμηχάνοις μὴ δυσφορηθῆς, ἐπ' ἀπρήκτοις, ἤγουν ὧν οὐδεμία πρᾶξίς ἐστιν, ἤγουν ἄνυσις, ὀδυνώμενος. μηδὲ μίσει, μηδὲ λυποῦ, μηδ' ἄλλοις λυπηρὸς ἴσθι, μηδ' ἐχθροῖς χαρὰν παράσχῃς, αἰσθομένοις σου ἐν κακοῖς ὄντος καὶ δυσχεραίνοντος. τὰ δὲ μόρσιμα καὶ μοιρίδια συμπτώματα παντάπασιν (f) ἄφυκτα γίνεται, καὶ ἐν τῷ βίῳ, καὶ μετὰ τὸν θάνατον. τὸν δὲ θάνατον περιέφρασε τῷ καταδῦναι ἐς λίμνην πορφυρέην, ἤγουν μέλαιναν τὴν ἀχερουσιάδα, καὶ κατωτέρω ἔτι εἰς τὸν ἠερόεντα, ἤγουν βαθύσκοτον τάρταρον, ἤχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον. (g)

τόσσον ἔνερθ' ἀΐδεω, ὅσον οὐρανός ἐσ' ἀπὸ γαίης.

ἐν ἐνίοις, ἀντὶ τοῦ καταδὺς, γράφεται καδδὺς, συγκοπῇ αἰολικῇ, ὡς τὸ, (h)

καδδυνάμιν δ' ἔρδειν ἱέρ' ἀθανάτοισι θεοῖσι.

1031. Ἄνδρα τοι.) ἀγαθὸν ἄνδρα γινόμενον ἐξαπατᾶν ἔργον ἂν εἴη, καὶ οὐδαμῶς ῥάδιον. ἢ τοῦτο λέγει, ὅτι χαλεπόν ἐστιν ἐξαπατᾶν τοὺς ἀγαθοὺς, ἤγουν κακοὺς καὶ ἐπηρεα-

ἄϊστον. τὸ δὲ πρότερον βέλτιον, ὡς χαλεπὰ τὰ καλὰ, καὶ χαλεπὸν ἐσθλὸν ἔμμεναι. ὅτι δ' οὕτως ἔχει, πάλαι, φησὶν, ἐμοὶ δῆλόν ἐστι καὶ σαφές.

1033. Ἦ δειλοὶ μὲν.) καὶ τοῖς (a) ἄνω περὶ τοῦ διστίχου τούτου εἰρήκαμεν. καίπερ οὐδὲ πρότερόν φησιν, ἀγνοῶν. νῦν γ' οἶδα τρανῶς, ὅτι ἡ δειλία ἄχαρίς ἐστι παντάπασιν. τοὺς δὲ δειλοὺς αὖ εἶπεν, ὅσοι δυστυχοῦσί τε καὶ ἀκλεεῖς εἰσι, καὶ οὐτιδανοί.

1035. Ἄφρονες αὖ.) παραφρονοῦσι, φησι, καὶ ἀνόητοί εἰσιν, ὅσοι μὴ κατὰ τὴν τοῦ κυνὸς ἐπιτολὴν οἰνοποτοῦσι. τὸ δ' ἄστρον κατ' ἐξοχὴν ἔλεγον τὸν ὠρίωνα, καὶ αὐτὸν τὸν τούτου κύνα σείριον καλούμενον, ὡς πάνυ περιφανοῦς καὶ (a) λαμπροῦ ὄντος αὐτοῦ. εἴρηται δὲ ταῦτα κατὰ τὴν τοῦ χρησμοῦ παραίνεσιν, (b)

εἴκοσι τὰς πρὸ κυνὸς, καὶ εἴκοσι τὰς μετέπειτα,
οἴκῳ ἐνὶ σκιερῷ διονύσῳ χρῆσθαι ἰατρῷ.

καὶ ᾔδετο τὸ ἀλκαίου (c) τοῦτο πολ' ἐν παροιμίας ᾄδεται, τέγγε πνεύμονα οἴνῳ, τὸ γὰρ ἄστρον περιτέλλεται. ἐρχομένου δὲ τοῦ κυνός, ἤγουν ἐπιτελλομένου, ἢ ὡς ἐν ἄλλοις, ἐρχομένης, ἤγουν ἐγγὺς οὔσης τῆς ἐπιτολῆς τοῦ κυνός. αἱ δ' ἐπιτολαὶ τῶν ἀστέρων καὶ χρόνοις καὶ τόποις διάφοροί εἰσιν.

1037. Δεῦρο σὺν.) ἐπιχαιρεκακίας δηλωτικὸν τὸ δίστιχον καὶ ἐμπαιγμοῦ ἐπ' ἀλλοτρίοις κακοῖς, ἄγε δὴ ἐπικωμάσωμεν σὺν γέλωτι καὶ λάθῃ, τῷ σκυθρωπῷ ἐκείνῳ καὶ δακρύοντι, ἡδόμενοι τοῖς δυστυχήμασιν αὐτοῦ.

1039. Εὔδωμεν φυλ.) παρακέλευμα πρὸς τὸ ἡσυχάζειν.

καὶ

καὶ ἀπολαῦσαι τῆς εἰρήνης. ἡμῖν οὐδὲν ἔξεστι, φησιν, ἐπειδὴ φύλακες ἀγρυπνοῦσιν, οἷς μελήσει περὶ πόλεως ἡμετέρας ἀσυφελῆς τε, τουτέστιν οὐ σκληρᾶς, οὔτε ψαμμώδους, ἀλλὰ εὐκάρπου, καὶ ἐρατῆς, ἤγουν πολυκράτου.

1041. Ναὶ μὰ δί' ε.) ἄλλο τι παρεμπέπλεκται κωμαστικὸν ἐνταῦθα δίστιχον. σοῦ εὕδοντάς φησιν, ἐπικωμάσαντες ῥᾳδίως ἐπεγειρομένοι, ὥστε προσδέξασθαι ἀρπαλέως καὶ προθύμως τὸν κῶμον.

1043. Νῦν μὲν.) ἀποπεμπτικὸν τῶν φροντίδων, καὶ παραινετικὸν τοῦ ἀναρτῆσαι εἰς τὴν θείαν δύναμιν τὰ μέλλοντα. ὡσαύτως καὶ ἡρακλῆς (a) ἐν ἀλκήστιδι παραγγέλλει λέγων·

εὔφραινε σαυτόν, πῖνε, τὸν καθ' ἡμέραν
βίον λογίζου σόν, τὰ δ' ἄλλα τῆς τύχης.

1045. Σοὶ δ' αὖ οἷά τε.) ὑποθήκη περὶ τοῦ προβουλεύεσθαι καὶ μὴ σπεύδειν ἄγαν ἐν τοῖς πράγμασι, μή τις τῷ τάχει κακὸν ἐπισπάσῃ αὐτῷ. τῶν γὰρ μαρναμένων, ἤγουν ἀγωνιζομένων, καὶ ὁρμητικῶς ἐχόντων ἐν τῷ πράττειν, τὸ πρόθυμον, καὶ τὸ διανοητικὸν δίισταται, καὶ ἐναντιοῦται αὐτὸ ἑαυτῷ. τὸ δὲ βουλεύεσθαι προάγει ἐπ' ἀγαθόν, καὶ τὸ τῆς γνώμης καταστατικὸν καὶ χρηστόν. ἔχει δὲ προοίμιον ἡ παραίνεσις, ἐνδεικτικὸν τῆς πίστεως, καὶ παρακελευόμενον προσέχειν τὸν νοῦν τοῖς λεγομένοις. ἐγώ σοι ὑποθήκην ὑποθήσω οἵαν πατὴρ τῷ ἰδίῳ υἱῷ, φησίν. σὺ δ' ἔμβαλε ταῦτα ταῖς φρεσί, καὶ τῇ καρδίᾳ, ὡς καὶ ὁ ὅμηρος, (a)

σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι, τουτέστιν, ὡς ὁ αὐτὸς ὅμηρος, (b)

σῇσιν ἔχε φρεσί, μηδέ σε λήθη αἱρείτω.

1051. Ἀλλὰ λόγον.) παροδικὸν σχῆμα τοῦτο, περαιωθέντος ἤδη λόγου τινὸς, καὶ ἄλλου ἀρχῆς παρασκευαζομένης. περιέχει δὲ τὸ ἐλεγεῖον παρακέλευσιν τοῦ εὐφραίνεσθαι μολπῇ καὶ ᾠδαῖς. ἅπερ φησὶν εἶναι δῶρα τῶν μουσῶν. αὕτη γὰρ μουσῶν ἱερὴ δόσις ἀνθρώποισιν, καθ' ἡσίοδον, (a)

ἐκ γὰρ μουσάων καὶ ἑκηβόλου ἀπόλλωνος
ἄνδρες ἀοιδοὶ ἔασιν ἐπὶ χθονὶ καὶ κιθαρισταί.

δέδωκαν δέ φησιν αἱ μοῦσαι ταῦτα τὰ οἰκεῖα δῶρα σοι καὶ ἐμοί. μετὰ δὲ ταῦτα λείπει τι ἐν ἅπασιν, οἷς ἐντυγχάνομεν ἀντιγράφοις, πλὴν ὅσα ἐν τοῖς χαλκογραφείοις κιβδήλως ἐξεδόθη. οἴοιτο δ' ἄν τις οὐκ ἀπὸ τρόπου γενήσεσθ' ἴσως γραφῆναι τιμὴν. ὥστε νοεῖσθαι δῶρον αὐτὰς εἰληφέναι τοῦτ' εἰς τιμὴν τῶν γειτνιώντων. (b) ἀμφικτύονες γὰρ καὶ περικτύονες καὶ περιναέται, οἱ περιοικοῦντες λέγονται.

1055. Τιμαγόρα πολ.) προσαποφώνησις τὸ ἐλεγεῖον τιμαγόρᾳ τινί. φησὶ δ' ὅτι οὐκ ἔστι ῥάδιον οὐδ' αὐτοῖς τοῖς σοφοῖς τὸ κρίνειν, καὶ σκοπεῖν ἑνὸς ἑκάστου γνώμην, καὶ διάνοιαν, καὶ ὁρμὴν, ἅπωθεν ἤγουν ἣν μή τις τινὸς ἐν ταῖς ὁμιλίαις πολλῷ χρόνον πεῖραν λαμβάνῃ. προστέθηκε δὲ τὴν αἰτίαν, ὅτι ἀφανὴς ἐπὶ πολλοῖς ἥ τε ἀρετὴ καὶ ἡ κακία διὰ πρόσχημα καὶ καταπέτασμα, ἤτοι πλούτου ἢ πενίας. τὸ δὲ καταχρύψαντες ἔχουσιν, (a) ἀττικῶς, τουτέστι κατακαλύπτουσιν. ὡς τὸ θαυμάσας ἔχω, ἤγουν ἐθαύμασα.

1059. Ἐν δ' ἥβῃ.) ἀντὶ τοῦ, ἱμερτὴν ἥμ. γράφε) ἐν ἐνίοις, ἐρατεινὴν ἥμ. ἡδονικὴ ὑποθήκη κατὰ τὸ βακχίδου ἐγκώμιον ἐν τῇ ἀθηναίου, (a)

στίχ.

σῖτον, φάγω, καὶ πάντα τῇ ψυχῇ δόμεν.

κελεύει δὲ καὶ κατὰ τὸν εὐριπίδου ἡρακλέα ἐν ἀλκήστιδι, (b)

τίμα δὲ καὶ τὴν πλεῖστον ἡδίστην θεῶν
κύπριν βροτοῖσι.——

τὰ δ᾽ ἅπαντα ἐκ τῶν ὁμηρικῶν κατεσκεύασται ὀδ. ι. (c)

οὐ γάρ ἔγωγέ τί φημι τέλος χαριέστερον εἶναι,
ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα,
δαιτυμόνες δ᾽ ἀνὰ δώματ᾽ ἀκουάζωνται ἀοιδοῦ
ἥμενοι ἑξείης, παρὰ δὲ πλήθωσι τράπεζαι
σίτου καὶ κρειῶν. μέθυ δ᾽ ἐκ κρητῆρος ἀφύσσων
οἰνοχόος φορέῃσι καὶ ἐγχείῃ δεπάεσσι.

ὁ δὲ τῶν ἀφροδισίων ἵμερος ἀκόλουθός ἐστι τῆς τοιούτων διαίτης. οἴνου γὰρ οὐκέτ᾽ ὄντος, (d) οὐκ ἔτ᾽ ἦν κύπρις. ὁ νοῦς· καλόν ἐστι καὶ ἀγαθὸν κατὰ τὴν ὥραν τοῦ σώματος, ἐμπίπλασθαι πόθου, συνουσίας, ἁρμοδίας, οἷον γαμήσοντα νέαν τινὰ γυναῖκα μὴ παρηβηκυῖαν, καὶ ἐν τοῖς κώμοις καὶ μελῳδίαις διατρίβειν. οὐδὲν γὰρ μείζω τέρψιν ἔχει, οὐδ᾽ ἥδιόν ἐστιν οὔτ᾽ ἀνδράσιν, οὔτε γυναιξίν. ἐπήνεγκε δ᾽ ἐρώτησιν ἀποδεικτικὴν ἄλλων ἁπάντων ἐκλογῆς ἡδονῆς. τί φησιν ἐμοὶ καὶ τῇ τοῦ πλούτου μεγαλοπρεπείᾳ, ἢ σεμνότητι αἰδοῦς; καὶ κεφαλαιωδῶς συνεπέρανεν, ὅτι τέρψις, ἤγουν ἡδονή, καὶ εὐφροσύνη, ἤγουν εὐθυμία, καὶ τὸ ἱλαρόν, προτιμητέα ἄλλοις ἔσθ᾽ ἅπασιν.

1065. Ἀφρονος ἀνθ.) καὶ αὖθις δυσχεραίνει διὰ τὸ ὀλιγοχρόνιον καὶ ὀξύρροπον τῆς ἡβώσης ἡλικίας. καί φησιν, ὅτι ἄξιον ἦν μᾶλλον πένθος ποιήσασθαι τῆς ταύτης ἀπώλειαν, ἤπερ συγγενῶν θάνατον. τὸ δ᾽ ἑπόμενον ἀπολαυστικὸν

 προάγ-

παράγγελμα καὶ πρότερον ἐδείξαμεν ἔν τισι τῶν ἀντιγρά-
φων εὑρῆσθαι ἐμβεβλημένον, ἀρχὴν ἔχον, (a) ἥβαις φίλ
θύμε.

1069 Κύρνε φίλους πρὸς.) κατὰ τὰ ἄνω παραινεῖται περὶ τῆς πολυτροπίας ἐν τούτοις,(a)

πουλύπου ὀργὴν ἴσχε πολυπλόκου.——

καὶ καλεῖ ταύτην σοφίαν, ἤγουν δεξιότητα, πανουργίαν οὖσαν, ἣν καὶ χρησιμωτέραν εἶναί φησιν ἀρετῆς μεγάλης. θαυμαστὸν δὲ καὶ τὸν ὀδυσσέα παρίστησι μάλιστ' ὅμηρος,(b) ὅτι κερδαλέος τ' ἦν καὶ ἐπίκλοπος, καὶ τοιαῦτα ἐβούλευσεν, ἃ οὐκ ἄν τις ἂν παρέλθοι.

Εν πάντεσσι δόλοισι καὶ εἰ θεὸς ἀντιάσειε, διὸ καὶ παρὰ τῆς ἀθηνᾶς εἶχε πίστην ἀεὶ τὴν ἀθηνᾶν, ἡ καὶ αὐτὴ, κατὰ τὸν ποιητὴν,(c)

μήτι τε κλέεται καὶ κέρδεσι,——

καὶ λέγει ἐκείνη ὀδυσ. ν. (d)

ὅτι οὐ δύναται προλιπεῖν τὸν ὀδυσσέα.

οὕνεκ' ἐπητής ἐστι καὶ ἀγχίνοος καὶ ἐχέφρων.

αὕτη ἄρ' ἐστὶν ἡ σοφία παρ' ἀνθρώποις, ἡ τῶν ἐχόντων σοφὴ, τὰ δ' ἄλλα (e) κόμποι καὶ λόγων συμπεριφοραί.

1073. πρήγματος ἀπ.) ὅτι τὸ (a) μέλλον ἀφανὲς προσκοπήσει, οὐδὲν ἧττον ἢ τὸ τῆς τύχης, κατ' ἀλκήστιδα (b) τοῦ εὐριπίδου, τοῦ προσθέσεται,

κἄστ' οὐ διδακτὸν οὐδ' ἁλίσκεται τέχνῃ.

ὁ νοῦς προορᾶν ἐστι χαλεπώτατον τὸ τέλος πραγμάτων ἀπράκτων, ἤγουν ἀνηνύτων καὶ μηδέπω γενομένων. οὐ γάρ τις οἶδεν, ὡς προείρηται,(c)

περὶ χρόνου μέλλει πράγματος ἀρχομένου.

ἐρφνὴ γὰρ, ἤγουν σκότος προβέβληται τοῦ τέλους, τουτέστιν ἀπρόορατός ἐστιν ἡ τελευτὴ τῶν πράξεων, καὶ τοῦ ἐσομένου, καὶ μέλλοντος ἀδιανόητον καὶ ἀκατάληπτον τὸ πέρας, καὶ ἔσχατον συμβὰν γίνεται. πείρατ' ἀμηχανίης θνητῆς, ἤγουν τῶν ἀνθρωπίνων συμφορῶν κατάστασις.

1077. οὐδένα τῶν ἐχθρῶν.) ἐπιτρέπεται ὁ λόγος ὅδε. ἴσως οὖν γὰρ δίκαιον καὶ λοιδορεῖν τὴν κακίαν καὶ ῥαθυμίαν καὶ φαυλότητα ἀπανταχοῦ, καὶ τὴν ἀρετὴν ἐπαινεῖν, καὶ θαυμάζειν, ὥστε ἐν συμβεβηκότος χώρᾳ τεθῆναι τὸ φιλικόν τι καὶ ἐχθρῶδες παρά τι τὴν ἀρετὴν, καὶ τὴν κακίαν. μετὰ τοῦτο τὸ δίστιχον, ἐν ἐνίοις ἔκκειται αὖθις καὶ τῶν προγεθέντων ἐπῶν τινα, ὡς τάδε·(a)

Κύρνε κύει πόλις ἥδε, δέδοικα δὲ μὴ τέκῃ ἄνδρα
ὑβριστὴν χαλεπῆς ἡγεμόνα στάσιος.

παρέγραψα δ' ἐνταῦθα τοῦτο διὰ τὸ πεντάμετρον, τὸ δὲ τετράστιχον, οὗ ἀρχὴ, μή μ' ἔπεσιν μὲν στέργε. καὶ αὐτὸ ὧδε ἐπεμβληθὲν ἐνίοθι, εὕριθμον ἔχει τὴν συναφὴν πρὸς τὸ νῦν ἑπόμενον δίστιχον.

1079. οὐτω χρὴ τόν γ' ἐσθλόν.) ἐπιλογικῶς ἀποφαίνονται ὅτι τοῦτον τὸν τρόπον εἰκός ἐστι τὸν ἀγαθὸν, τῇ τοῦ νοῦ ἐπιστροφῇ βεβαίως αἰεὶ τηρεῖν ἕως τέλους τὴν φιλίαν.

1081. Δῆμον δέ.) τοῦ μὲν διστίχου ἡ ἀρχὴ ἐλλειπῶς τε καὶ ἀδιορθώτως ἔχουσα, οὐχ ἥττονα πόνον ἤπερ τι τῶν ἄλλων ἡμῖν παρέσχεν, οὐδὲν δυναμένοις τεκμήρασθαι περὶ τῆς γραφῆς. εἴη δ' ἂν προσφθεγκτικὸν τοὐπίγραμμα καὶ ὁ νοῦς

ὁ νοῦς ἴσως ὅδε· βαρὺς ἂν βούλοιο πολλὰ φέρειν τὸν δή-
μον. σὺ γὰρ οὐκ ἐπίστῃ, ἤγουν ἐπίστασο, καὶ οἶσθα ἔρδειν τὰ
μὴ προσφιλῆ σοι ὄντα. τὸ γὰρ καταθύμιόν ἐστι καὶ παρ' ὁ-
μήρῳ περὶ οὗ ἐνθυμεῖταί τις καὶ φροντίζει, Ιλ. κ. (2)

θάρσει. μηδέ τί τοι θάνατος καταθύμιος ἔστω.

ἀλλ' οὐδεὶς γὰρ ἂν γνοίη τἀληθὲς ἐν τοιαύτῃ λύμῃ τῆς γρα-
φῆς, τοῦτ' ἄδηλον ἐν μέσῳ καταλιπόντες, τὰ λοιπὰ δι-
ερήσωμεν.

1083. Κάστορ καὶ.) ἐπικαλούμενος τοὺς λεγομένους διοσ-
κούρους, καταρᾶται καὶ αὐτῷ πονηρῷ γινομένῳ πρὸς φί-
λον, πάσχειν τὸ ῥαφθὲν ἐκείνῳ κακὸν, ἑτέρῳ μέντοι τοιού-
τῳ γεγονότι ἐπιδαψιλευόμενος κατεύχεται τὸ διπλάσια
τοῦ ἐπιβουλευθέντος δεινοῦ. ὁ νοῦς· ὦ διόσκουροι, οἳ ναίετε,
ἤγουν ἵδρυσθε ἐπ' εὐρώτα ποταμῷ καλὸν ἔχοντι ῥεῦμα
ἐν χώρᾳ λακεδαίμονι, εὔχομαι εἴ τι κακόν ποτε τεύξοι-
μι φίλῳ, αὐτὸς τοῦτο ἔχειν, ἢ δέ τις ἐμοὶ, τοῦτον ἔχειν τὸ
κακὸν διπλοῦν. ἦν δὲ παρ' εὐρώτᾳ τόπος καλούμενος
δρόμος, ἔνθα τοῖς νέοις δρόμου μελέτη καθεστήκει, καὶ
διόσκουροι ἦσαν ἐπίκλην ἀφετήριοι ὡς παυσανίας ἱστορεῖ.[3]

1087. Ἀργαλέως μοι.) δυσχεραντικὸν περὶ τῆς τοῦ ἑταίρου
ἀπηνείας καὶ σκληρότητος. φησί τι ὅτι οὔτε μετ' αὐτοῦ οὔτε
χωρὶς αὐτοῦ δύναται ζῆν ἡδέως. εἰδέναι γὰρ ὅτι δεινὸν ἀμ-
φότερον, τό, τε ἅπαξ φίλον γεγονότα ἀπεχθάνεσθαι, καὶ τὸ
φιλεῖν τὸν ἀποστρεφόμενον τὴν φιλίαν, ἐφεξῆς κελεύει τοῦ πι
τὸν ἀμφίβολον ἑταῖρον, ὅστις ποτ' ἐστὶ, περισκοπεῖν καὶ
ζητεῖν ἄλλον φίλον, οὐ γὰρ εἶναι αὐτῷ ἀνάγκην, ἤγουν οὐκέτι
δοκεῖ

δοκεῖν ὑπηρετῆσαι ἐκείνῳ ἐφ᾽ οἷς καὶ πρότερον χάριν οἶδε. ἔστι δέ πως ἀσαφέστερα ταῦτα. λέγει δὲ, ὅτι ἑρμηνευτῶς ἔχω πρὸς τὴν ἀποφυγὴν φιλίας ἐκείνης ἀναρμόστου οὔσης, ἀναπλησόμενος ὥσπερ λιμναῖον ὄρνεον, ἀπορρήξας βρόχον, ἤγουν τὸν τράχηλον ἐξελκύσας, καὶ ἐλευθερώσας με τῶν δεσμῶν. ἀλλά συ στερηθεὶς τῆς ἡμετέρας φιλίας, ὀψέ ποτε γνώσῃ ὡς ἐχέφρων καὶ ἀρτιόφρων, καὶ συγνώμων ἦμην.

1097. Ὅστις σοὶ βέ.) ἀτελὲς τὸ ἐλεγεῖον. μέμψασθαι δὲ δοκεῖ τινα αἴτιον γεγονότα τῆς διαλύσεως τοῦ δεῖνα πρὸς τὸν ποιητὴν φιλίας. οὐκ εὖ συνεβούλευεν, ἢ ὤλοιτό, φησιν, ὁ συμβουλεύσας σοι ἀπολιπόντα ἐμὲ φοιτᾶν σε πρὸς ἄλλον.

1099. Ὕβρις καὶ μάγν.) περὶ μαγνήτων εἴρηται. αἱ δὲ περὶ κολοφῶνος καὶ σμύρνης ἱστορίαι, ἄδηλοι διηγήσατο δὴ ἡρόδοτος (a) κλειοῖ, ὅτι κολοφώνιοι φυγάδες σμύρνην πόλιν αἰολίδα κατέσχον. ἀλλ᾽ ἕτερόν τι ἐπισημαίνεσθαι τὸν ποιητὴν οἶμαι. ἀρκοῖτο δ᾽ ἡμῖν, ὅτι παραδείγματα ταῦτα ἐκτέθεικεν ὁ ποιητὴς, τοῦ τὴν ὕβριν ὀλεθρίαν γεγονέναι ἔθνεσι μεγάλοις καὶ πόλεσι, καὶ οἴεσθαι γενήσεσθαί ποθ᾽ ὁμοίως καὶ ἄλλοις.

1101. Εἰς βάσανον.) ἐάν, φησι, βασανισθῇς ὥσπερ χρυσὸς τριβόμενος παρὰ μολίβδῳ, καὶ εὑρεθῇς ἄπεφθος ὢν καὶ καθαρὸς, ἅπασι δὴ καλὸς οὕτω φανήσῃ.

1103. Οἴμοι ἐγώ.) σχετλιαστικὸν, ὅτι δεινὰ καὶ κακὰ πάσχων, τουτέστι δύστηνος καὶ ἄθλιος γενόμενος, παρέσχε

μεν

μὲν ἡδονὴν ἐπιχαιρεκακοῦσιν ἐχθροῖς, πόνοι δὲ συναλγοῦσι καὶ συμμοχθοῦσι φίλοις.

1105. Κύρν' οἱ πρόσθ'.) ἀγανάκτησις ἐπὶ διαστροφῆς βίου, καὶ μεταβολῆς εἰς κακόν. ἔστι δὲ τὸ ἦθος γεροντικόν· οἱ πρεσβῦται γὰρ τὰ παρεληλυθότα ἐπαινοῦντες, ὀνειδίζουσιν ἀεί πως ἐπὶ τῶν παρόντων. οἱ πρότερον, φησίν, ἀγαθοὶ νομιζόμενοι, νῦν κακοί εἰσι. καὶ οἱ κακοὶ δοκοῦσιν ἀγαθοί. ὅπερ οὐκ ἀνεκτὸν λέγει, οὐ δῆτα κακοὺς ἐντίμους, καὶ τοὺς ἀγαθοὺς ἀτίμους εἶναι, καὶ ὅτι ἀγαθοὶ βελτίους γυναῖκες γονέων πονηρῶν. καὶ ὅτι δολιοί εἰσι καὶ ἀπατεῶνες, καὶ ἀχάριστοι, καὶ ἀβέλτεροι. ἐνταῦθα καὶ ἄλλο τι δίστοιχον ἐν ἐνίοις τῶν ἀντιγράφων εὑρεθὲν προσεγράψαμεν·

> πολλὰ δ' ἀμηχανίῃσι κυλίνδομαι ἀχνύμενος κῆρ·
> ἀρχὴν γὰρ πενίης οὐχ ὑπερεδράμομεν.

ὥσπερ καὶ ἔμπροσθεν (a) μὲν εἴρηται, ἐκεῖ δὲ τοῦ πενιχροῦ μέτρου ἀρχή, ἄκρην γὰρ πενίην.

1111. Χρήματ' ἔχων.) ἀποκρουστικὸν ὀνείδους ἀλαζονικὸν καὶ σκαιοῦ περὶ τῆς πενίας γιγνομένης ὑπὸ πλουσίου. ἀλλ' ἐγὼ μέν, φησίν, οὐκ εἰμὶ παντάπασιν ἄκληρος καὶ ἀκλήμων. ὧν δ' ἐνδεῶς ἔχω, ταῦτ' ἔτι σὺν τῷ θεῷ ἐργαζοίμην ἄν, ἤγουν πράξαιμην καὶ εὕροιμι.

1113. Πλοῦτε θε.) πλούτου ἐγκώμιον κατὰ ἀποστροφὴν φώνησιν. ὦ πλοῦτε, φησίν, οὐδεὶς ἄλλος θεὸς καλλίων ἢ ποθεινότερός ἐστι σου. ὁ δὲ σ' ἔχων ἀγαθὸς νομίζεται, κἂν ᾖ περ κακός. πλούτῳ γὰρ ἀρετὴ καὶ κῦδος ὀπηδεῖ, καθ' Ἡσίοδον, (a)

HG

1115. Ηὕτε μῆτρον.) Σημερεῖν καὶ τελευτᾷν εὔχεται. περὶ ὧν πολλάκις ἤδη ἐπερισσολόγησεν. εἴθε, φησὶ, γένοιτό μοι φιλεῖας ὑπὸ ἀπόλλωνος τοῦ τῆς λητοῦς υἱοῦ καὶ διὸς αὐτοῦ, ὥστε διαζῆν ἐν ἀνθούσῃ ἡλικίᾳ τελευτῶντα ἐμὲ καὶ ἀμέριμνον.

1119. Μή με κακῶν.) Ὑπαινίττεταί τι ὁ ποιήσας ταῦτα περὶ δυστυχίας γαμικῆς, ἢ ἄλλης τινὸς συμφορᾶς καθ' ἣν ἐγγὺς παρεγένετο τοῦ θανάτου, καὶ ἀξιοῖ μὴ γενέσθαι μνήμην περὶ τῶν αὐτῷ συμβάντων. οὐ γὰρ μόνον ὁ θυμὸς κατὰ τὸν ἡρόδοτον (a) ἐν τοῖς ὠσὶν οἰκεῖ, ἀλλὰ καὶ ἡ λύπη. ἀκούοντες γὰρ τὰ δεινὰ, ταραχῆς τε καὶ ἀηδίας εὐθὺς ἀισθανόμεθα. φησὶ δ' ὅτι συμβέβηκεν αὐτῷ καθάπερ τῷ ὀδυσσεῖ βλάβη τις οἰκοφθόρος. ἐνέπλεξε δὲ περὶ τοῦ ὀδυσσέως τὰ ὑφ' ὁμήρου μυθολογηθέντα, περί τε τῆς εἰς ᾅδου καταβάσεως, καὶ τῆς ἀναιρέσεως τῶν μνηστήρων, ὅς, φησιν, ὀδυσσεὺς, ἀνῆλθεν, ἐξαναδὺς καὶ ὑποστρέψας ἐξ ᾅδου δώματος, καὶ τοὺς μνηστεύοντας τὴν γυναῖκα ἣν παρθένον ἔτι νέαν ἠγάγετο, ἀνεῖλεν, ἤγουν ἀπέκτεινε φονεύσας, ἔμφρων, τουτέστι διαχειρίζων τὸ πρᾶγμα μετὰ νοῦ καὶ φρονήσεως. ἡ δὲ πηνελόπη προσεδοκήσατ' αὐτὸν ἀπόντα σὺν τῷ υἱῷ τηλεμάχῳ, ἕως καὶ ἐπὶ τοὺς ἀμαλεῖς μυχοὺς, ἤγουν τὰ ἐνδοτάτω τῆς γῆς καὶ τόπους ὑποχθονίους ἔβη.

1125. Εἰ οἴομαι πίν.) (a) λαθικήδης γὰρ ὁ οἶνος, καὶ τὴν γνώμην ἐπαίρει καὶ ἀνακουφίζει οὐδὲν ἧττον ἤπερ ὄρνιθας πτερά. ὅθεν καὶ λάκωνες τὸν διόνυσον ψίλαν ὠ-

νομα-

ὠνομάκασιν, οἷον πτερόεντα εἰπεῖν. (b) φίλα γὰρ καλοῦσ οἱ δωριεῖς τὰ πτερά· ὑπὸ τῆς οἰνοποσίας διαθερμαινόμενός, φησιν, οὐδὲν φροντίζω, οὔτε τῆς τὸν θυμὸν φθειρούσης δακνούσης πενίας, οὔτε τῶν κακηγορούντων ἐχθρῶν, ἀλλ' ὅμως καὶ τότε βαρέως φέρω, ὅτι παροιχομένης τῆς ἐρασμίου ἥβης, ἐπέρχεται τὸ χαλεπὸν γῆρας.

1129. Κύρνε παρ.) παρακλητικὸν τοῦ ἀκεῖσθαι καθ' ἀρχὴν εὐθὺ τὰ ἐπιπολάζοντα δυσχερῆ μεταξὺ τῶν φίλων. (a) ἀρχὴν δ' ἰᾶσθαι πολὺ λώϊον ἢ ἐς τελευτήν. μεταφορὰ δὲ ἐκ τῶν σωματικῶν σινῶν καὶ θεραπειῶν.

1131. Ελπὶς ἐν ἀνθ.) παραίνεσις, ὅτι καί περ κακῶν παντοίων συνεχόντων ἡμᾶς ὅμως ἐλπιστέον καὶ εὐσεβητέον ἐστίν. ἐν δὲ τῷ κακοφόρῳ τῆς πανδώρας (a) πίθῳ μόνη ἐλπὶς ἔμεινε ἐπισχεθεῖσα ἐπὶ τοῖς χείλεσιν. ἐνέπλεξε δὲ δυολογίαν περὶ τῆς ἀνθρωπίνης πονηρίας, ὥσπερ καὶ ἡσίοδος (b) τὸ σιδηροῦν γένος καταγράφων. ὁ νοῦς· (c) μόνη ἐστὶ λοιπὴ ἀπὸ πάντων θεῶν ἡ ἐλπίς. ἀπῆλθε γὰρ πίστις, σωφροσύνη, μνήμη τῶν εὐεργεσιῶν, εὐορκία, ἡ δ' εὐσέβεια καὶ παντάπασι διεφθάρη, καὶ δικαιοσύνη ἄγνωστός ἐστι. ὅμως δ' ἕωσπερ ζῇ τις, ἐλπίδα χρηστὴν ἐχέτω, καὶ εὐσεβὴς γινέσθω περὶ τὸ θεῖον, εὐχόμενός τε καὶ τὰς νομιζομένας προσφέρων θυσίας καίων τὰ μηρία, ἤγουν μηριαῖα ὀστᾶ, περικεκαλυμμένα τῷ δημῷ καὶ λιπαρά, οὐδαμῶς γ' ἐπιλαθόμενος τῆς ἐλπίδος. ἅμα δὲ καὶ φυλαττέσθω τὰ σκολιὰ καὶ λοξά, ἤγουν ἀπατηλὰ τῶν λόγων οἷς οἱ πονηροὶ χρῆσθαι εἰώθασιν. οἵ περ καταφρο-

καταφρονήσαντες τῆς θείας ἐπισκοπῆς, καὶ ἐν ἔχουσι τὴν γνώμην ἐπ' ἀλλοτρίοις κτήμασι, καὶ πλεονέκται εἰσὶν, ἀκοινώνητοι καὶ ἄπιστοι ἐν τοῖς συμβολαίοις. τὸ δὲ σύμβολα θέσθαι αἰσχρὰ, κακοῖς ἔργοις, δηλοῖ τὸ μετὰ δόλου καὶ πανουργίας ὁμιλεῖν, καὶ συνεῖναι τοῖς ἄλλοις ἐπὶ κακώσει καὶ βλάβῃ. τὸ δὲ σύμβολον, συνάλλαγμα καὶ συνθήμα.

1147. Μή ποτε τὸν.) μὴ δεῖν εἶναί φησι, τὴν φιλίαν ἀλλοπρόσαλλον καὶ ἀμαιβαίαν, ὥσπερ ἐσθῆτα, καὶ ὅτι οὐ προσδεκτέον τὰς ἐχθροποιοὺς τῶν φίλων κατηγορίας.

1149. Εἴη μοι πλ.) νῦν μὲν πλούσιοι καὶ ἀμέριμνον αὐτοῦ βίον, ἐν τοῖς ἔμπροσθε(2) δὲ προσθήκην ἡ εὐχὴ τὴν ἥβην εἶχε.

1151. οὔτ' ἔραμαι.) ἀντίθετον τοῦ πρὸ τούτου τεθέντος διστίχου. οὐκ αὐτῷ, φησιν ὁ ποιήσας τοῦτο, πλουτεῖν, ἀλλ' αὐταρκῶς ἔχειν, ἐκτὸς ὢν κακῶν.

1153. Πλοῦτος καὶ σοφ.) δύο εἶναί φησιν ἀκόρεστα, πλοῦτον καὶ σοφίαν, ὁμήρου(2) ἀποφήναντος, ὅτι πάντων μὲν κόρος ἐστὶ, μόνοι δὲ οἱ Τρῶες μάχης ἀκόρητοι εἰσι. ὁ νοῦς ἀμαχώτατον, ἤγουν ἀνίκητόν τι ἐστίν, ὅ τε πλοῦτος καὶ ἡ σοφία διὰ τὸ τοὺς τὸ πολὺ ἐσχηκότας πλειόνων ἀεὶ ὀρέγεσθαι, καὶ ὁμοίως τοὺς εἰς ἄκρον σοφίας ἐληλακότας, οὐχ ὅμως φεύγειν καὶ χωρίζεσθαι ἀπὸ τῆς μαθήσεως καὶ θεωρήσεως, ἀλλὰ διώκειν τε ταύτην, καὶ οὐδαμῶς τελέσαι καὶ ἐκτελέσαι καὶ πληρῶσαι τὸν θυμὸν, καὶ τὴν ψυχήν. γράφεται δὲ ἐν ἐνίοις, κορέσαι, ὃ καὶ βέλτιον.

1157. οὐδένα θησαυρὸν καταθήσειν.) ἀπόσπασμά τι, οὐκ

εὖ οἶδα τινος. εἴρηται δὲ πρότερον. (a)

οὐδένα θησαυρὸν καταθήσῃ παισὶν ἀμείνω
αἰδοῦς. ———

εἴη δ' ἂν ἴσως ἐνταῦθα νοηθῆναι ἀφελόμενον, τὸ θησαυρίζειν τοῖς παισὶν τὰς εἰς ἄλλους εὐεργεσίας. μένουσι γὰρ αὗται, καὶ οὐκ ἀναλίσκονται ταῖς δαπάναις, ὥσπερ τὰ χρήματα. ἐν δὲ τούτῳ χωρίῳ καὶ πάνυ συγκεχυμένως ἐπισεσώρευται ἀλλήλοις τὰ ἔπη. οἱ γοῦν ἑπόμενοι στίχοι ἐξ αὐτοῖς τοῖς ῥήμασιν ἔκκεινται (b) ἀνωτέρω, πλὴν ὅτι τοῦ πρώτου ἡ ἀρχὴ ἐκεῖ. οὐδείς τοι πάντ. καὶ τοῦ τετάρτου πενταμέτρου ὄντος, θυμὸν ἔχειν μίμνειν.

1165. Ὀφθαλμο.) τοῦτ' ἐμφαίνων λέγει, ὅτι οἱ φρόνιμοι οὐδὲν ἐργάζοντ' ἀνόητον, οὔτε τῇ ὄψει, οὔτε τῷ λόγῳ, οὔτε τῇ ἀκοῇ χρώμενοι.

1167. Τοῖς ἀγαθοῖς συμ.) παραίνεσις τοῦ τοῖς ἀγαθοῖς συνεῖναι καὶ φεύγειν τοὺς κακοὺς κατὰ τὰ προειρημένα. (a)

——— κακοῖσι δὲ μὴ προσομίλει
ἀνδράσιν, ἀλλ' αἰεὶ τῶν ἀγαθῶν ἔχεο.

κατὰ τὸν αἰσχύλον, (b)

ἐν παντὶ πράγει δ' ἔσθ' ὁμιλίας κακῆς
κάκιον οὐδὲν ———

καὶ προσεχρήσατο τῷ μενάνδρου ἰαμβείῳ τούτῳ ὁ ἀπόστολος, τὸ αὐτὸ ἀποφηνάμενος, (c)

φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί.

ἤτοι τοίνυν, φησὶν, ὁδοιπορήσῃς, ἢ ἐπ' ἐμπορίαν στέλλῃ, βλέπε μὴ συγκύρσῃς τοῖς πονηροῖς. τῶν γὰρ ἐπιεικῶν καὶ σπουδαίων ἡ ἀλήθεια, τῶν δὲ πονηρῶν καὶ φαύλων τὸ ψεῦ-

ψεῦδος, καὶ τὸ (δ) ἀπημόλια βάζειν. φησὶ δὲ ὅτι τὴν κοινωνίαν καὶ ὁμιλίαν τῶν κακῶν ἐπιφέρουσαν δυστυχίαν, εἶναι τιμωρίαν τῶν πλημμελημάτων. ἐπειδή, φησιν, ἤλιτες σὺ θεοὺς, ἤγουν ἠσέβηκας εἰς τὸ θεῖον, ὑφέξεις τὴν δίκην ταύτην, ὥστε ἐμπλεκόμενόν σε κακεταιρείᾳ, ἤγουν ὁμιλίᾳ καὶ συνουσίᾳ τῶν πονηρῶν, πείσεσθαι κακὰ ἐξ αὐτῆς, καὶ βλαβήσεσθαι.

1173. γνώμην κυρ.) καὶ πρότερον εἴρηκεν, ὅτι τοῖς ἀνθρώποις χρησιμωτάτη ἡ γνώμη καὶ φρόνησις, ὥσπερ ἡ ἀγνωμοσύνη κακίστη. μέγιστον γὰρ ἐν ἐλαχίστῳ νοῦς ἀγαθὸς ἐν σώματι ἀνθρώπου. ἐν γὰρ τῇ φρονήσει τέλος πράξεων ἁπασῶν ἔνι. πᾶν γὰρ ἄνευ φρονήσεως πραττόμενον ἀτελές. ἐν δὲ τοῖς ἐφεξῆς μακαρίζει τὸν κεκτημένον γνώμην ἀγαθὴν, ἤγουν τὸν φρόνιμον. πολὺ γάρ, φησὶ, βέλτιον καὶ λυσιτελέστερον τὸ τῆς φρονήσεως κτῆμα, ἤπερ τὸ τῆς ὕβρεως καὶ κόρου, ἤγουν τῆς ὑπερηφανίας καὶ βίας, μακάριός, φησιν, ἐκεῖνός ἐστιν, ὃς μὲν, ἤγουν αὐτὴν τὴν φρόνησιν, ἔχει φρεσὶ καὶ ἐκλήσατο, ἡ δὴ πολὺ κρείσσων αὐτὴ τῆς ἀγνώμονος ὕβρεως καὶ πλησμονῆς. ἐν ἄλλοις γράφεται, ὅστις δή μιν ἔχει φρεσὶ ἐπεὶ πολὺ κρείσσων.

1177. Εστι κακὸν δὲ) κἀνταῦθα (2) ψέγει τὸν κόρον, ἤγουν τὸ τῶν δοκούντων ἀγαθῶν ὑπερβάλλον πλῆθος. ἐκ γὰρ τούτου φύεσθαι λέγει τοῖς ἀνθρώποις κακὰ καὶ δυσχερῆ πάντα, ὥσπερ καὶ προείρηται.

1179. Εἰδ᾽ εἴπει.) ἢ ὡς ἐν ἄλλοις, εἰκ. εἴπς. τοῦ μὲν

αἰσχυνῶς, ἔ δὲ σωτηρευτικῶς κειμένα. Φησὶ δ' ἐν τῇ κύρνου πρεσβύτηρος ἀρετῆς μάλιστα, ἤγουν κλέος ἔξειν ἀρετῆς κάλλιστον, γενησόμενον οἷον μήτε τι πάσχειν, μήτε τι ἐργάζεσθαι τῶν αἰσχρῶν καὶ ἐπονειδίστων.

1181. Κύρνε θεούς.) τὸ παράγγελμα θεοσεβείας, ἧς τῆς πολυθείας χωρισθείσης, οὐδεμία ἂν βέλτιον ἢ κάλλιον ἔχει παραινέσεων ἁπασῶν, ὅσαι τ' ἐστὶ καὶ ἔσαι. ὁ γὰρ φόβος (a) τοῦ θεοῦ, σοφίας ἀρχή. καὶ ὁ ἰσοκράτης οὕτω· (b) τὸν μὲν θεὸν φοβοῦ, τοὺς δὲ γονεῖς τίμα, τοὺς δὲ φίλους αἰσχύνου, τοῖς δὲ νόμοις πείθου. ἐστὶ δὲ τοῦθ' ὃ μάλιστα πάντων ἀπείργει καὶ ἀποστρέφει τοὺς ἀνθρώπους, καὶ κωλύει δρᾶν τι ἀνόσιον καὶ αἰσχρὸν, ἤτοι ἀναφανδὸν, ἢ καὶ λαθραίως.

1183. Δημοφάγον.) τὴν τυραννοκτονίαν οὔτε πρὸς τῶν θεῶν, φησιν, ὀφλισκάνειν ἐκδίκησιν. τὸ κατακλῖναι, ὕποπτον, καὶ ἐν τισι τῶν ἀντιγράφων ἐλλιπὴς ἦν ἐνταῦθα ἡ γραφή. τὸ δὲ κατακλῖναι, κυρίως ἂν εἴη τοὺς δειπνήσοντας ἄγειν ὅπου ἀνακείσονται. ὃ καὶ ἀνακλῖναι ἔλεγον. νοήσειε δ' ἐνταῦθα τις τὸ ἀνατρέψαι καὶ καταβαλεῖν, ἤγουν ἀναιρεῖν τοὺς τυράννους. ὑπολάβοι δ' ἄν τις ἴσως ἀντὶ τοῦ κατακλῖναι, γραπτέον, κατακτῆναι. τὸ δὲ κατακαίνειν, κατακτείνειν ἐστίν. ἐν ἐνίοις μετὰ ταῦτα εὑρίσκονται καὶ τάδε· (a)

οὐδένα κύρν' αὐγαὶ φαεσιμβρότου ἠελίοιο
    ἄνδρ' ἐφορῶσ' ᾧ μὴ μῶμος ἐπικρέμαται.
ἀστῶν δ' οὐ δύναμαι γνῶναι νόον, ὅντιν' ἔχουσιν,
    οὔτε γὰρ εὖ ἔρδων ἁνδάνω, οὔτε κακῶς.

Φησὶ δὲ τὸ ἐλεγεῖον, ὅτι τῶν ἀνθρώπων ἐπὶ γῆς ἀμώμητος

καὶ

ϰ) ἀψευκτ[ος] ὐδεὶς. ϰ) δυσχεραίνει περὶ ὧν ϰ) ἐν τοῖς ἔμπροσθεν (b) ἠγανάκτησεν, ὅτι τοῖς αὐτοῦ πολίταις οὐχ οἷόν τ' ἐστὶν ἀρέσκειν.

1185. Νῦν ἀγαθὸς.) ἢ ὡς ἄλλοθι, ἀγαθὸν ἐστι μέν, φησι, τῶν ἀγαθῶν ὅ, τι νοῦς, καὶ ἡ φρόνησις, καὶ ἡ γλῶσσα, ἤγουν ὁ λόγος. ἔστι δ' ἐν ἐκείνοις, οἳ ταμιεύεσθαι ταῦτ' εἰς τὸ δέον ἐπίστανται, οἵπερ εἰσὶν ὀλίγοι.

1187. οὔ τις ἄποι.) καὶ πρότερον εἴρηται, ὅτι τὰ χρήματ' ἀποθνήσκων οὐδεὶς ἀποκομίζει. (a)

οὐδ' ἂν ἄποινα διδοὺς, θάνατον φύγοι.

καὶ ἐκεῖ μὲν προσέθηκεν, οὔτε νόσους, οὔτε γῆρας. ἐνταῦθα δὲ γενικῶς τὴν δυστυχίαν τοιαύτην εἶναί φησιν, οἵαν ἀποτινάσσεσθαι, ἣν μὴ τέλος ἐκείνη μοιρίδιον ἐπιτεθῇ. οὐδ' ἂν δύναιτό τις ἄνθρωπος γελοίως ἐκφυγεῖν δῶρα διδοὺς, τὰς δυσφροσύνας, ἤγουν λύπας, καὶ ὀδύνας, καὶ τῶν φρενῶν ταραχὰς, τοῦ θεοῦ ἐπιπέμποντος τὰ ἀλγεινά.

1191. οὐκ ἔραμαι.) παρὰ τὸ ὁμηρικόν, ὀδ. λ. (a)

βουλοίμην κ' ἐπάρουρος ἐὼν θητευέμεν ἄλλῳ
ἀνδρὶ παρ' ἀκλήρῳ, ᾧ μὴ βίοτος πολὺς εἴη,
ἢ πᾶσιν νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν.

οὐκ ἐρῶ, φησι, μὴ ἔχειν, βασιλέα γενέσθαι ἐν ᾅδου, ἀλλ' ἐν τῷ βίῳ τούτῳ ἀγαθόν τι πάσχειν βουλοίμην. μετὰ γὰρ τὸν θάνατον αἴσθησις, φησι, μηδεμία λείπεται, οὔθ' ἡδέων, οὔτε λυπηρῶν. τὰ δὲ λοιπά, ὅμοιον εἴτε τις ἀσπαλάθους καὶ ἀκάνθας, ἢ τάπητας ϰ) στιβάδας ὑποστορέσειε τῷ νεκρῷ, τότ' ἂν ξύλον τοῦτο ὅμοιον, ἤτοι σκληρὸν ὂν, ἢ μαλακόν.

1195. Μήτι θεούς.) κατ' ἐπιορκίας. καὶ ὅτι τὰς παρακαταθήκας ἀποδοῦναι χρή, καὶ μὴ ληΐζεσθαι ὅρκῳ, κατὰ τὸν (2) χρησμόν. τὸ γὰρ χρεὼς ὅπερ ὀφείλεται ἑτέρῳ φανερὸν τῷ θεῷ, ὃν ἐπομόσειέ τις ἐπιορκήσας.

1197. Ὄρνιθος φω.) πρὸς τὰ ἡσιόδεια, (2)

φράζεσθαι δ' εὖτ' ἂν φωνὴν γεράνε ἐπακούσεις
ὑψόθεν ἐκ νεφέων ἐνιαύσια κεκληγυίης
ἥτ' ἀρότοιό τε σῆμα φέρει καὶ χείματος ὥρην
δεικνύει ὀμβρηροῦ. κραδίην δ' ἔδακ' ἀνδρὸς ἀβούτεω.

δυσφορεῖται δ' ὁ ποιητὴς προσφωνῶν τάδε τῷ ἑταίρῳ αὐτοῦ πολυπαίδῃ, ὅτι καιροῦ παρόντος καὶ ἐνστάσης ὥρας ἀρότου, τεκμαίρεται δὲ τοῦθ' ἐκ τῆς κλαγγῆς τῶν γεράνων, ἀφῄρηνται τοὺς ἀγροὺς, τοὺς εὐανθεῖς, καὶ πίειρας. λέγει δὲ ἔτι, ὅτι οὐθ' ἡμίονοι πάρεισιν ἕλκοντες τὸν κύφωνα, ἤγουν ζυγὸν τοῦ ἀρότρου, τὴν γνώμην ἐμοῦ πρὸς ναυτιλίαις καὶ ἐμπορίαις ἔχοντος. διὰ τὴν ἄλλην μνηστὴν, καὶ ἀπόθητον, καὶ ἐγλυνθεῖσαν ταῖς ἐλπίσι, πραγματείαν, ἢ οὐκ οἶδ' ὅτι γε καὶ ἄλλο τῆς γραφῆς ὑπόπτου οὔσης.

1203. οὐκ εἶμ.) ἀπαγορευτικὸν τὸ ἐλεγεῖον τῶν τυραννικῶν ὁμιλιῶν. ἐγὼ μέν, φησιν, οὔτε βαδίζοιμι κληθεὶς πρὸς τύραννον καὶ δυνάστην, οὔτ' ἐκεῖνον καλέσαιμι. κλαίει δὲ οὐδεὶς τὸν τύραννον ἀποθανόντα, οὔτε τύραννος πένθος καὶ συμφορὰν ποιεῖται τῶν ἐρχομένων θάνατον.

1207. οὔτε σὲ κωμ.) προσεφθέγκται φίλῳ τινὶ τῶν σκυθρωπολέρων τοὺς τρόπους, καὶ ἔχει πῶς ἀσαφέστερον τὸ εἰρημένον, ὡς οἶμαι, τοῦτο, οὔτε κωλύομαι, οὔτε κελεύω κω-

μάσαι

εἴσῃ πρὸς ἐμὲ, ὥστε παρεὼν ἀργαλέος, καὶ ἀπὼν φίλος, ἤτοι σὺ ἢ ἐγώ. τὸ δ' οὖν τ' ἂν, χρονικὸν, ἤγουν ὅτε. ἐπίθες (δὲ γράφε) τὸ πεντάμετρον.

ἀργαλέος γὰρ ἐὼν καὶ φίλος εἶ γ' ἀπεών.

καὶ εἴη οὕτως ἡ ἀναφορὰ πρὸς τὸ ἕτερον μόνον τῶν κώλων· οὐ καλοῦμαί σε, διότι φίλος ἀργαλέος ὑπάρχεις. καὶ οὐκ ἂν ἔχοι ἀπεῖναί σε.

1209. Αἴθων μὲν.) τίνα ἂν δέξοιτό τις τοῦτον τὸν αἴθωνα, καὶ πῶς οἷοί τ' ἂν εἰρῆσθαι, οὐκ οἶδα. ὅτι μὲν ταῦτα Θεόγνιδος ἔπη οὐκ ἂν νομισθείη τῷ ἀκριβεῖ λόγῳ, δῆλον κἂν τυφλῷ ψηλαφῶντι, φασιν. αἴθωνα δὲ οὐκ ἀγνοοῦντες ὅσα σημαίνει παρ' ὁμήρῳ τε καὶ τοῖς ἄλλοις, οὐκ ἴσμεν τὸ ἐπιφανῆ διὰ τοῦ ὀνόματος συμφραζόμενον. εἰ δ' ἄρα ἐθνικόν ἐστιν, ἤτοι ἐμφαίνει τὸν αἴθικα, δῆμον Θεσσαλικὸν παροικοῦντά ποτε τῷ πίνδῳ ὄρει, ἢ ἄλλον τινὰ, τήν γε θήβην, κατὰ ταῦτ' ἂν νοοῖμεν ἴσως τὴν φθιώτιδα. πολλῶν γὰρ πόλεων ἐγένετο τοὔνομα. ἀλλ' οὐδὲν γὰρ δυνατὸν διϊσχυρίσασθαι ἡμᾶς περὶ τοῦ πράγματος, ἁπλῶς τὸν νῦν ἐκδεχώμεθα τόνδε. ἀλλόφυλος μὲν καὶ ἑτεροεθνὴς ἐγενόμην, παροικῶν ἐνθάδε, τῆς πατρῴας γῆς ἀπελαθείς. ὡς δ' αὔτως, καὶ τὰ ἐφεξῆς ἄλλου ἂν ὅτου οὖν μᾶλλον εἴη, ἢ θεόγνιδος. προσφωνεῖται δὲ γυναικί τινι τοὔνομα μὲν ἀργυρίδι, τὴν δὲ τύχην δούλη. ἔστι δὲ ἐπιτιμητικὸν τὸ ἐλεγεῖον, καὶ τοῦτό φησιν ὁ ποιήσας· ὦ ἄργυρι, μὴ δὴ ἠλιθίως ἐμπαίζουσα τοῖς ἐμοῖς γονεῦσι δένναζε, καὶ ὕβριζε καὶ ὀνείδισον αὐτούς.

καὶ

καὶ προσέθεσο τοῦτο τὸ κακὸν ἄλλοις οἷς ἔχομεν πολλοῖς. εἴπερ γὰρ καὶ φυγάδες ἐγινόμεθ' ἡμεῖς, καὶ ἐν ἀλλοτρίᾳ χώρᾳ πάροικοι, οὐκ ἐσμὲν ὅμως καὶ ἀπόλιδες, καὶ αἰχμάλωτοι. τοῦτο γὰρ βούλεται τὸ, οὐκ ἔπι, ἤγουν ἔπεστιν ἡμῖν ἡ χαλεπὴ δουλεία, καὶ οὐ περνᾶσιν ἡμᾶς, ἤγουν πιπράσκουσι, δηλονότι οἱ κύριοι. πόλις γὰρ καὶ πατρίς ἐστιν ἡμῖν κειμένη ἐν πεδίῳ ληταίῳ. ὑπολάβοι δέ τις, περίφρασιν εἶναι ταύτην τῆς μακεδονικῆς λητῆς, ἐχούσης πλησίον ἱδρυμένον λητῷον, ἤγουν ἱερὸν τῆς λητοῦς.

1217. Μή ποτε.) ἀνασταλτικὸν τῶν ἀκαίρων ἡδονῶν, καὶ τῆς ἐπιχαιρεκακίας, ἢ καὶ ἁπλῶς τῆς ἐπαχθοῦς συνουσίας. μή, φησι, τοῖς ἑαυτῶν ἀγαθοῖς ἡδόμενοι, γέλωτα θησώμεθα τὰ τῶν ἄλλων κακά. κλαίειν (a) γὰρ δίκαιον παρὰ κλαίουσι, καὶ γελᾶν παρὰ γελῶσιν.

1219. Ἐχθρὸν μὲν.) εἴρηταί τι καὶ πρότερον περὶ τῆσδε τῆς γνώμης, πάνυ γὰρ κίνδυνός ἐστι μικρὸς ἀπατηθῆναί τινας ὑπὸ τῶν ἐχθρῶν, καὶ φανερῶς ἐπιβουλευόντων, ἢ καὶ πολεμούντων. τοὺς δὲ φίλους εἶναι φάσκοντας φυλάττεσθαι δεῖ, πρόχειρον ἔχοντας τὸ ἐπιχάρμειον, (a) νῆφε, καὶ μέμνασ' ἀπιστεῖν· ἄρθρα ταῦτα τῶν φρενῶν. πῶς δ' ἂν ἀπιστοίη τις ἐχθρῷ ποτε; ᾧ πιστεύει οὐδεὶς τὴν ἀρχήν.

1223. οὐδὲν κυρ.) ὡσαύτως καὶ εὐριπίδης ὀρέστῃ, (a) γάμοι δ' ὅσοις μὲν εὖ καθεστᾶσι βροτῶν μακάριος αἰών, οἷς δὲ μὴ πίπτουσιν εὖ, τά τ' ἔνδον εἰσὶ, τά τε θύραζε δυστυχεῖς. ἔστι δ' ὁμηρικὴ ἡ γνώμη, ὀδ. ζ. (b)

— οὐ μὲν γὰρ τοῦ γε κρεῖσσον καὶ ἄρειον

ἢ δὲ ὁμοφρονέοντε νοήμασιν οἶκον ἔχητον
ἀνὴρ ἠδὲ γυνή.——

Βούλεται δ' ὁ ποιητὴς περὶ τοῦ ῥητοῦ ἀληθείας μάρτυρα προσλαβεῖν τὸν ἑταῖρον κύριον. καὶ αὐτὸς δή φησιν ἐθέλειν μαρτυρῆσαι τῇ ἀληθείᾳ.

1221. οὐδὲν κύρ.) ψόγος ὀργῆς, ἧς λέγει κτῆμα πάντων εἶναι ἀδικώτατον, ὅτι τὸν κεκτημένον πημαίνει, ἤγουν ζημιοῖ καὶ βλάπτει μάλιστα, ὑπηρετοῦσα τῇ διανοίᾳ τῶν ὀξυχόλων, καὶ κολακεύουσα τοὺς λογισμοὺς προπετεῖς ὄντας πρὸς τὰ ἄλλα καὶ φαῦλα, καὶ πονηρά.

1225. Πολλὰ φέρ.) ἐγνωμολογήθη ταῦτα κατὰ τῶν ἀκαίρως λαλουμένων ἐν πάθεσιν ὄντων τινῶν. τότε γὰρ πλεῖστα ὡς ἐπιτοπλεῖστον εἴωθεν ἡ γλῶσσα, τουτέστιν ἀνοήτως λέγειν περὶ ὧν ἀμείνων ἂν ἡ σιγὴ ἐγεγόνητο. αἱ δὲ φρενῶν ταραχαὶ παρέπλαξαν καὶ σοφὸν, ὡς φησὶν ὁ λυρικός. (2)

1237. Ηδη γάρ.) οἱ στίχοι ἔκκεινται ἐν τῇ δεκάτῃ (2) τῶν δειπνοσοφιστῶν. εἴρηται δὲ ταῦτ' αἰνιγματωδῶς περὶ κόγχης, ἢ κόγχλου, καὶ τῷ ἤχῳ ὃν ἀποτελεῖ ἐμφυσώμενος ἤδη νεκρωθέντος καὶ ἐξαιρεθέντος τοῦ ἐδωδίμου τῆς σαρκὸς. ἐν τῷ προστεθῆναι αὐτὸν στόματι ἀνθρωπίνῳ. καὶ τοῦτό φησιν εἶναι σημεῖον τοῦ οἴκαδε ἀπιέναι.

ΤΕΛΟΣ ΤΩΝ ΥΠΟΜΝΗΜΑΤΩΝ
εἰς τὰ ἀλεκτρυόνα μόρα τοῦ θεόγνιδος ἐπῶν.

IN SCHOLIA IOACHIMI CAMERARII AD SENTENTIAS Theognidis Notæ.

IN PROLEGOMENA.

([a]) fol.772. ([b])pag. 195. Hyblæorum Megarensium meminit idem p.293. ([c]) verſ. 781. ([d]) vid.Lil. Gyrald. tom.2. f. 101. vbi ponitur Olympias 59.vt & in indice Chronol. Bucholzeri ann.mundi 3428. ([e])v.177. vid.& Acharn.v.11.& 140.([f])Aphthoniú. ([ff])Plutarch.εἰ πρεσβυτέρῳ πολιτευτέον, peculiari docet libro. vid. Mor. f.378. ([g])Soph.Antig. v.1040. ([h]) Plato περὶ δικαίου.f.1310.Ariſtot.Nicom. 3.c.5.al,7. ([i]) Odyſſ.α.170. ([k]) Ιλ.ζ.79. ([l])Ιλ.ε,55. ([m]) Ιλ.δ,169. ([n]) Ιλ.ν.392. ([o]) Ιλ.ζ. 26. ([p]) * ([q]) Ιλ.η.99. ([r]) Ιλ.σ. 98. ([s])vid & Ιλ.β. 371. ([t])Ιλ.δ. 415. ([u])v.59. ([x])Stob. ſerm.10.N.53. ([y]) Ιλ. ζ. 146. ([z]) Ιλ.ψ.671. ([A]) Odyſſ. ρ.218.([B]) Eurip.Helen.1229. ([C])Alcib.pr.f.449.([D]) f.21. vid.&in Vita Pomp. f. 481. vtrobiq; Sophocli aſſcribitur.extat etiam apud Laërt.lib. 2. p.142.([E]) Scholiaſt.Lycophr.ad v.579.Caſſand. ([F]) Sol.v.149. ([G])Sozomenus hiſt. Eccleſ. lib.4. cap.27.([H])diuerſis tribuitur.vid.Ariſtot.Rhet.2.12.Diog.Laërt. l. 1. p.27.& 42.prou. *Ne quid nimis.* ([I])Diog. Laërt. Thaleti aſſcribit l.1.p.26.vid.prou.*Noſce teipſum.* ([K])Od. θ.329.([L]) ib.330. ([M]) Odyſſ.α.302. & γ.199.([N])Eurip.Med.598.([O])Phœniſſ.974.([P])Hermog.de inuēt. lib.

lib. 3. ca. de argumentis p. 91. vid. ibid. Sturmium. (Q) v. 28. (R) orat. ad Philippi Epistolam in fine. Sic Xenoph. ὀνόματα οὐκ ἂν παιδεύσειαν, γνῶμαι δὲ, εἰ καλῶς ἔχοιεν. de venat. f. 998. (S) Plutarch. Apoph. f. 137. (T) Cicero in Catone p. 90.

IN EXPLICATIONEM TEXTVS.

Versu 1. (a) v. 94.

V. 6. (a) Odyss. ζ. 163. (b) in Del. 209. (c) ibid. v. 261. (d) Euterpe lib. 2. fol. 99. N. 176.

V. 12. (a) Strabo lib. 14. f. 440. Pausan. Atticis fol. 41. (b) hac de re vide Eurip. Iph. in Aul. Plutarch. de casib. compar. Græc. & Rom. fol. 233. Ouid. Metam. l. 12. fab. 1. summatim Reineccij histor. Iul. tom. 1. f. 391. (c) hymn. in Dian. v. 228.

V. 15. (a) Pind. Pyth. hym. 3. v. 155. (b) in Bœotic. f. 291 (c) f. 505. Eurip. Bacch. v. 989. sed, ὅτι χαλεπὰ τὰ καλὰ, Plato 4. de Rep. f. 641. & Hipp. maiore circa fi.

V. 19. (a) ἐν τοῖς ὀνόμασι σοφιζόμενοι, καὶ οὐκ ἐν τοῖς νοήμασι, Xenoph. de venat. f. 998. vbi in hũc sensum plura.

V. 35. (a) fol. 714. (b) lib. 9. cap. 9. vbi quidem ex glossa irrepsisse putatur. Initium autem extat c. 12. ibid.

V. 61. (a) Eurip. Phœniss. v. 789. (b) Cic. Att: 1. ep. 18. de petit. cons. p. 211. a. Clem. Alexandr. lib. 4. στρωμ. f. 204. Stob. ser. 3. N. 28. f. 91. vid. inf. v. 283. & 829. (c) v. 843. Similes formas habes Luc. 10. 27. Matth. 22. 22. (d) μέχρι πρεσβυγενείας. Anthol. 1, 85. 6.

V. 65. (a) Sophocl. Oed. Col. v. 616.

V.73. (a) Pulcrè huc quadrat illud Nicephori Gregoræ lib. 4. hist. Rom. fol. 53. in fine: τὰ εἰς πλείους ἀκοὰς διασπαρὲν μυστήριον πολύχουν ἀτεχνῶς γεγόνος ... ἐπωνυμίαν οὐκ ἔτι μυστήριόν ἐστι, ἀλλὰ διαπρύσιος φήμη

(b) Luth. in glossa marginali ad v.8.c.6. Sirac.

Freunde in der noth
Gehen 25. auff ein Lot:
Sols aber ein harter stand sein/
So gehen jhr 50. auff ein quintlein.

V.77. (a) fol. 772.

V.109. (a) Olynth. 1. fol. 2. b.

V.115. (a) v. 88.

V.119. (a) Nem. hym. 3. v. 65.

V.129. (a) Xenoph. ἀπομν. 1. f. 722.

V.131. (a) Eurip. Herc. fur. v. 1261. citat & Plutarch. princ. περὶ παιδ.

V.133. (a) Ιλ. γ. 164. (b) f. 605.

V.143. (a) lib. 1. v. 325.

V.145. (a) ad Demonic. p. 20. (b) Hom. Ιλ. δ. vide Eustath. fol. 376. (c) f. 792. (d) lib. 5. Nicom. cap. 1. al. 3.

V.151. (a) vt & ad v. 133.

V.153. (a) Polit. 5. c. 8. Notandum autem hîc quod idem dicit Nicom. 4. cap. 3. al. 8. ἄνευ ἀρετῆς οὐ ῥᾴδιον φέρειν ἐμμελῶς τὰ εὐτυχήματα. (b) lib. 8. f. 308. N. 555. Ita Pindarus ὕδειν κόρῳ ματέρα dicit, sed reprehensus à Scholiaste, Olym. 13. v. 12. (c) lib. 1. p. 39. (d) στρωμ. 6. f. 263.

V.155. (a) lib. 2. v. 335. (b) v. 69. (c) v. 209.

V.159. (a) Cic. Attic. 4. Ep. 8. al. 9. vid. prou. Ne

magna

magna loquaris. (b) v. 1244. (c) Demost. de Rhod. libert. f. 80. & aduer. Lept. fol. 382. τὸ μέλλον ἄδηλον πᾶσιν ἀνθρώποις. vide infra v. 585. & 659. (d) v. 331. (e) ibidem, v. 596. (f) Heracl. v. 866. (g) Phœniss. v. 561. (h) Plutarch. consol. ad Apollon. fol. 63. Quin de vniuersa vita, cuius sæpè vix minimæ particulæ felicitas contingit, Seneca, Punctum est, inquit, quod viuimus, & adhuc puncto minus. Epist. 49. (i) Hesiod, lib. 3. 61. infr. 659. (k) Stob. serm. 103. N. 251. (l) lib. 1. f. 8. N. 14. (m) v. 332.

V. 167. (a) lib. 1. f. 8. N. 14. (b) v. 608.

V. 173. (a) Soph. Aiace v. 479. (b) cap. περὶ γνώμης. (c) lib. 2. fol. 127.

V. 178. (a) Plutarch. de aud. poetis. f. 13.

V. 183. (a) lib. 2. fol. 72. N. 128. Apud Theocritum est μελιδωνὸς. Idyl. 24. v. 104.

V. 191. (a) lib. 1. 323.

V. 196. (a) lib. 1. 318. (b) *Malè parta, malè dilabuntur*: recitat Cic. Phil. 2. p. 173. incertus de autore, qui Festo Næuius est, p. 357. Plautus ita: *Malè partum, malè disperit.* Pœnul. 4. 2. vid. & Eurip. Electr. v. 943. (c) v. 160.

V. 201. (a) lib. 6. f. 229. N. 413.

V. 213. (a) Odyss. α. v. 1. & κ. v. 330. (b) lib. 12. f. 253. N. 513. & lib. 7. fol. 158. N. 253. (c) quæst. 9. fol. 505. & de compar. animal. f. 485. Sed περὶ πολυφιλ. in fine: πουλύποδος νόον ἴσχε πολύφρονος.

V. 227. (a) cap. 5.

V. 230. (a) Serm. 9. N. 51. fol. 186.

V. 236.

V.230.(a) Serm.9.N.51.f.186.

V.236.(a) vid.Plutar.de aud.poëtis fol. 14 (b)v.35. (c)v.332.& 392. (d)lib.6.ep.5.

V.237.(a) non longè à fine.

V.240. (a) fol. 20. vid.& Theocr. Idyll. 12. 21. Similem Athenæi locum monstrat index voc. Theogn.in κεῖμ.

V.245.(a) Idyll.16.v.58.

V.255.(a) l.1.c.1.(b) l.1.c.8. q.ibi leg. πάντων δ' ἥκιστον. alij: ἥκιστον δὲ πέφυχ'. (c) Iliad. φ. v. 318.(d) Nicom.5.cap.1.al.3.

V.267.(a) 561.(b)v.1131.(c) v.445.

V.280. (a) vid.versus Antimachi apud Strab.lib.13. f.405. & prou. *Adrastia Nemesis.*

V.283.(a) ad v.61.(b)v.1633.(c) fol.27.

V.284.(a) v.261.

V.289. (a)lib.7.hist.nat.c.16.

V.293.(a) Cycl.v.598.

V.295.(a) Idyll.15.v.87.(b)v.89.

V.299.(a) infr.v. 643. 697. 855.(b)Herc.fur. v. 559. (c)v.561.

V.303.(a) Demosth. fol. 444. Refer huc & Prouer. *Camelus desiderans cornua,*&c. & fabulam de cane ferente frustum carnis, &c. (b) vid.indicem Gr. vocab.in κιγχ.

V.305.(a) v.35. (b) 1.Cor. 15. 33. infr. v. 1167. (c) Eurip. Phœnice: vsurpat Æschines aduersus Timarchum f.191.& aduersus Æschinem Demosth. de fals.leg. fol.232.

V.315.(a) Plutarch.in vita Sol.f.57.

.323.(a) vid. prou. *Mores amici noueris, non oderis.* (b) Olymp. 7. v. 41. (c) Demosth. de Corona, fol. 354.

.329.(a) Odyss. θ. v. 329. prou. *Velocem tardus assequitur.*

.332.(a) Nicom. 5. c. 4. al. 7.

.335.(a) vid. prou. *Festina lentè.* (b) vid. sup. in proleg. lit. H. (c) Aristot. Nicom. 2. c. 6. al. 5. (d) Hesiod. l. 1. v. 287. (e) Plato in Protagora, f. 238.

V.339.(a) vid. prou. *Deum esse.*

V.349.(a) v. 347. (b) v. 212.

V 355 ( ) Troad. v. 101.

V.361.(a) Soph. Philoctet. v. 1043.

V.369.(a) Plutarch. Síntne Athenienf. fort. an sap. fol. 419. vid. prou. *Carpet citiùs aliquis, quàm imitabitur.*

V.371 (a) Suid. in ἄκαιρος. vid. prou. *Intempestiua beneuolentia.*

V.373.(a) * (b) Pind. Nem. 1. v. 82. vid. inf. v. 655. (c) Olymp. 9. v. 57. (d) * (e) sup. v. 177. (f) Stob. serm. 94. N. 231.

V.401.(a) aur. carm. v. 38. Phocyl. 33. 66. 94. (b) Lycurg. aduersus Leocratem f. 159.

ὅταν γὰρ ὀργὴ δαιμόνων βλάπτῃ τινὰ,
τοῦτ᾽ αὐτὸ πρῶτον ἐξαφαιρεῖται φρενῶν, &c.

(c) Iliad. δ. 94. (d) Sophocl. Antigone v. 637. vbi aliundè Schol.

ὅταν δ᾽ ὁ δαίμων ἀνδρὶ πορσύνῃ κακὰ,
τὸν νοῦν ἔβλαψε πρῶτον ᾧ βουλεύεται.

quod recitat etiã Athenagoras Apol. pro Christ. p. 33.

V.409.

V.409.(a) ιλ. ι, 531. & ο, 563.(b) Pythag.v. 12. Iso ad Demonic.p.6. Ausonius sub nomine Thale in septem sapientibus:

Turpe quid ausurus te sine teste time.

V.413.(a) Chæremon. οἶνος τρόποις τῶν χρωμένων κεράνν Plutarch.comment.quod nunc Pythia sortes n det vers.f.623. Aristot.sect.13.prob. 17. vid. in v.497.

V.415.(a) Soph. Aiace.v.692.

V.417.(a) Idyl.12.v.penult.

V.411.(a) Suid. ἀθυρογλωττία, ἡ ἀχαλίνωτος γλῶσσα. (b) Med.v.525. (c) ad Demon.p.20. Chilon quoqu præcipiebat: ἡ γλῶσσά σου μὴ προτρεχέτω τοῦ νοῦ. Stob serm. 3. N.18. fol.86.

V.423.(a) Stephan. de vrb.p.155.prou. *Mouere ca marinam.*

V.425. (a) Oedip. Col.v.1237. (b) f.71. vid. prou *Optimum non nasci.* (c) lib.10.p.788.

V.429. (a) v. 916.

V.431. (a) Iliad.β.v.732.

V.437. (a) Sup.v.17. (b) Plat.Menone f.425. (c) Aristot.Nicom. lib.10.c.9. al.10.

V.439. (a) ex Odyss. θ. v.392. vid. prou. *Aedibus in nostris.*

V.441.(a) Stob.serm.123. N.278.

——ὑδαλέοις δ' ἀμφ' ὀδύνῃ ἔχομεν
Πνεύμονας. ἀλλὰ θεοὶ γὰρ ἀνηκέστοισι κακοῖσιν
ὦ φίλ', ἐπὶ κρατερὴν τλημοσύνην ἔθεσαν.
Φάρμακον· ἄλλοτε δ' ἄλλος ἔχει τόδε.

(b) Odyss.1.v. 435. (c) supr. 355.

V.447.

V.447.(a) Supr.v.417.

V.453.(a) vid.in prolegom. literam I. (b) Hesych. [Greek]. Suid. [Greek]. vide & Eurip.Orest.542.

V.457.(a) Athen.lib.13.f.277.N.560.

V.459.(a) Pittaci, ap. Laert. lib. 1.p.55. vid.& Plutarch. [Greek] in fine.& prou. *Aequalem tibi vxorem quære.*

V.463.(a) vid.sup.v.15. & prou. *Difficilia quæ pulcra.* (b) Aristot.si quicquam aliud, [Greek] ait esse [Greek], Nicom.1.c.9.al. 10. & Euentus in genere à Deo pendere, affirmat Theogn. v. 142. ac deinceps sæpius, (c) v.950.(d) lib.1.v.285.(e) ibidem v.vltimo.

V.467.(a) Hom.Odyss.a, 74.

V.472.(a) Eudem. 2.c.7. & pr.Philos.4.cap. 5. Plutarchus quoq; comment.[Greek], &c. f. 252.

V.474.(a) Eurip.Alcest.v.788.infr.1043.

V.476.(a) v.343.

V.477.(a) Athen.l.10.f.211.N.428.vbi quinque disticha sequentia allegantur.

V.480.(a) v.466. (b) v.293. (c) loco iam citato.

V.485.(a) Isocr.ad Demon.p.16. vid.inf.v. 842.

V.487.(a) Athen.l.11.f.236.N.480. (b) lib.8.f.211. N.428. (c) vid.v.232.

V.489.(a) v.45. (b) vid.Prou. *Philotesius crater.*

V.497.(a) Prou, *In vino veritas.* lege & Guil. Stuccij antiq. conuiu.lib. 3.cap.8. f.328.

V.503.(a) Hesiodus in Eæis, cit.Athenæo lib.11.fol. 211.N.428.

σὺν δὲ παίδας χήρας τε θεῖς, γλῶσσαί τε ἴδιοι τε.
Vid.& Teren.Phorm.4.5.Niceph.Greg.prin.l.
3.hist.Rom. & indicem vocab. Theog.in οἶκος.

V. 511.(a)Odyss.ξ.58.vid.& Odyss.ζ.v.217.

V. 523.(a)lib.1.v.93.

V. 525. (a)lib.1.v.311.(b)ibid.v.300.

V. 531. (a) Odyss.ι.v.5.(b)vid.Plutarch.in vita Hom.
f.730.lat.

V. 535.(a) lib.1.polit.c.3.al.5.

V. 539. (a) vid.sup.proleg.lit.h. (b) Menandri : meminit Athen. lib. 14. f. 323. N.651. imitatus Terent.in Heaut.vbi vid.Act.1.scen.1.v.86.(c) Aiax apud Soph.v.833.917.&c.

V. 541.(a)296. (b)Iliad.α.v.268.vid.Eustath.fol.76
lin.36.& Odyss. f.760.lin.47.

V. 549. (a) vid.Scholiastas Aristoph.fol.413.& Thucyd.lib.3.fol.225.n.5. (b) propr. Sign. habes. Iliad.μ.v. 237.vid.Gell.lib.6. cap.6.

V. 557.(a)v.173.(b)vid.prou.30.v.8.

V. 563.(a)vid.supr.v.437.

V. 567.(a) fol. 167. N. 336. vid. & Strab. lib. 14. f. 462. prou. *Sardanapalus.* (b) fol. 261. N. 529. & seq.

V. 571.(a)Theodor. lib. 2. de principio fol.a 4.

V. 579.(a) in proleg.& v.472.

V. 581.(a)vid.prou.*alienum fundum arare.*

V. 583.(a)Scholiast.Soph.ad v.377.Aiac.vid.& Trachin.v.753.Plato lib.11.de LL.fol. 977. οὐ γὰρ τὸ γεγονὸς ἀγέννητον ἔσται ποτέ. adi & prou. *factum infectum fieri nequit.* (b) apud Plutarch. περὶ εὐθυμ. f.313.(c) Hom.Iliad.γ. v.115.

V.585. (a) Arist. Nicom. 1. cap. 10. al. 11. Isoc. ad Dem. p. 14. τὸ μέλλον ἄδηλον. vid. supr. v. 159. & infr. v. 659. (b) Rheso v. 332. vid. supr. v. 159. (c) v. 188. (d) vid. supr. v. 109. (e) v. 69. ubi aliàs: τὰ δὲ κακῶς ἐρδοντι, &c.

V.591. (a) Herc. fur. v. 884. vide similia supr. ad v. 159.

V.595. (a) Iliad. κ v. 636.

V.603. (a) ad v. 541. (b) lib. 12. fol. 497. N. 525. (c) orat. de pace non longe ab init. (d) vid. sup. proleg. literam χ.

V.607. (a) Iliad. γ. 179. (b) Herod. lib. 3. fol. 122. N. 217.

V.615. (a) vid. Iliad. γ. 277. Odyss. λ. v. 108. μ. 323. (b) v. 150. ἀλλ' ἀμήχανος, &c.

V.617. (a) supr. v. 159.

V.623. (a) v. 199. (b) Antholog. lib. 1. c. 13.

V.625. (a) Eurip. phoeniss. v. 397. καὶ τοῦτο λυπρὸν, συναδεῖν σοφῶν τοῖς μὴ σοφοῖς.

V.629. (a) lib. 3. f. 183. N. 242. al. ἀνεξέλεγκτον (b) Eurip. Sup. v. 232.

V.631. (a) de re equestri f. 941. (b) Anthol. lib. 1. c. 86. Epigr. 7.

ὃς δὲ κέρδος οὐκ ἔχει, χεῖλος κρατεῖν, συγκατέχει.

Laërtius autem lib. 1. pag. 49. & Stobæus serm. 3. N. 28. θυμοῦ κρατεῖν à Chilone præceptum scribunt. (c) Aristotel. Nicom. 2. cap. 3. al. 2. Plutarchus ita recitat: ἔρωτι δὲ μάχεσθαι χαλεπὸν, ὁ θυμῷ, in Amatorio fol. 592. (d) Iliad. Σ. v. 109.

k 2 *V.633.*

V.633.(a) Ια.C.148, Zephyri Epitheton est.(b) Chæremonis.vid.Stob.ferm.4.N.32.(c) Ια.C.435.(d) simile est Hemistichium Hesiod.li.2.28. [illegible] Demosth.Ep.1. circa fin. [illegible] vid.Prou. *Festina lentè.* (f) ad Demon. p.18. Aristoteles : [illegible] lib.6. Nicom.c.9.al.10. Inde Salust. procem.Catil.priusquam incipias,consulto, & vbi consulueris maturè facto opus est.Neq; hinc alienum dictum Herodoti lib.7.f.255.N.458. [illegible]

V.643.(a) sup.v.115.(b) sup.v.299.& infr.v.697.(c) v.91.

V.647.(a) sup.v.91.(b) lib.1.v.412.

V.649.(a)*(b) f.692. Eurip.Elect.v.975.

——— ἀλλ' οὐχὶ νόσῳ [illegible]

vide si libet,etiam Plat.lib.8.de Rep. fol.916.

V.655.(a) v.82. citat,& Paus.l.1.in.fol.338. Cicero in eundem sensum : *Citò arescit lacruma, præsertim in alienis malis* : part. orat.[illegible].294.

V.657.(a) fol.222. Sic Archytas Pythagoreus : ἐν ἀτυχίαις [illegible] ἐυτυχίαις, &c. apud Stob. serm.1.f.18. vid. supr. v.153.infr. 693.(b)consule Anutij Fæsij Oeconomiam Hippocr.f.99.

V.659.(a) vid.supr.v.159.(b) sup.159.(c) v.86.(d) in [illegible]

in fine. vide & Isth. 3. v. 8. insuperq; prou. *Nam plait & claro*, &c. (e) v. 503. (f) v. 981. (g) Il. 2. 433. vid. sup. v. 146.

V. 671. (a) fol. 674. & seq.

V. 687. (a) sup. v. 618. (b) Hesiod. lib. 1. v. 208.

V. 689. (a) Idyl. 5. v. 83. prou. *Ale luporum catulos.*

V. 693. (a) sup. 153. (b) Diodor. Siculus l. 19. f. 723. vid. sup. v. 657. & 153. Quòd autem diuites sint ὑβρισταὶ καὶ ὑπερήφανοι docet Aristot. lib. 2. Rhet. c. 16. cap. item 3. lib. 4. Nicom.

V. 696. (a) in Inone. Stob. serm. 123. N. 278. prou. *Commune naufragium* &c.

V. 697. (a) sup. v. 643. (b) v. 17. vid. ibidem Scholiasten Gr. & prou. *Pecunia vir.* vid. infr. 899. in lit. d & e. (c) vid. Platon. Gorg. circa fin. & princ. l. 1. de LL. (d) Iliad. ζ. v. 153. prou. *Sisyphi artes.* (e) vid. Eurip. Herc. fur. v. 1276. Virgil. Æn. 6. v. 119. 392. ibidemq; Seruium & alios alibi. (f) Iliad. α. v. 249. (g) v. 203. (h) Theogon. v. 268. vide & Oppian. Κυν. 2. fin. Eustath. Odyss. fol. 52. Suid. in ἀε. Lil. Gyrald. Syntag. 6. f. 204. (i) lib. 1. Argon. v. 219.

V. 697. (a) principiò. (b) infr. v. 1187. (c) vid. Etymolog. f. 132. Eustath. Iliad. fol. 18. & 768. (d) inserti nunc circa finem. 1227. (e) Lucian. Icaromenippo tom. 1. pag. 706. Theocr. Idyll. 14. v. 8. vid. Bud. comment. Gr. ling. fol. 544.

V. 739. (a) supr. v. 151. (b) sup. v. 373. (c) Stob. serm. 104. N. 252. (d) lib. 1. v. 268. (e) Il. ε. v. 352. sup. v. 636.

V.755.(a) v.419.& 682.(b) Theogo. v.95.inf.1051.

V.767.(a) f.279.(b) Lucianus Harmonide t.2.p.332. οὐδὲν γὰρ ὄφελος ἀποῤῥέντι, φασὶ, καὶ ἀφανεῖ τῆς μουσικῆς. vid. ib.Gilbert.Cogn.annot.pag.341.

V.771.(a) vid.supr.prol.init.(b) Pausan. Att. fol.39. (c) Odyss.ι.v.34.(d) Herodot. lib.6.f.235.N.424. τέως ἐν τοῖσι Ἕλλησι καὶ τὸ οὔνομα τῶν Μήδων φόβος ἀκοῦσαι. (e) lib.8. non longè ab initio. (f) vid.Strab.lib.6. fol. 183. Ouid. Metam. lib.13. v.725. Fast. 4. v. 417. (g) Strabo vocat ἀποῤῥῶγα τῆς Ἰταλίας lib. 1. fol. 37.lib.6.f.197. ἀποσθῆναι.

V.791.(a) sup.v.24.(b) Sophocl.in Aiace v.157.(c) de quo vide comment.Plut.f.255.(d) Idyl.9.v.vlt. (e) Idyl.15.v.47.(f) Odyss.χ.v.325.

V.803.(a) Iliad.β.519.(b) Iliad.ι.405.(c) de quibus Pausan.phoc.f.324.

V.814.(a) Sect.6.p.480.vid.& Suid.ἐν.

V.815.(a) Pind.Pyth.12.in fine: τόγε μόρσιμον οὐ παρφυκτόν. vid.inf.v. 1023.(b) lib.1.fol.24.N.42.(c) Hip. Cor.v.1256.vid.& Soph. Antig.v.1341.

V.819.(a) v.152.(b) Ex.20.12.(c) vid.Hom.Iliad.δ.v. 478.& ρ.v.302.

V.823.(a) vid.prou.ἀποτυλίσαι.(b) lib.12.f.259.N.524. (c) Steph.de vrb.p.260.καὶ σκύθαι ὁ σίδηρος: ὅθεν ἀποσκυθίσαι τὸ περὶ σιδήρῳ τὰς τρίχας τεμεῖν. Hesych. ἀποτμεῖν.

V.829.(a) Hesiod. lib.1. v. 270. vid. supr. 61. & 283.

V.831.(a) sup.v.133.(b) sup.v.171. ἤτοι ἀπ. &c.(c) v. 32.(d) prou. ad corvos.

V.835.(a) sup.v.475.(b) Athen.lib.10.f.214.N.433. Hom.

(c) Hom. Il. λ. v. 171. vid. ib. Scholia. (d) Alexis: vid. γνώμας H. Steph. p. 454. (e) Pontianus vid. Ath. lib. 10. f. 443. (f) sup. v. 485.

V. 843. (a) v. 485. non dissimiliter Isocrates Philip. p. 262. pertinetq; eodem responsum ab Agesipoli datum referenti, Philippum paucis diebus Olynthum deleuisse: μὰ τοὺς θεοὺς, inquit, ἀλλ' οὐ τοιαύτην ἐν πολλῷ χρόνῳ οἰκοδομήσει. Plutarch. Apoph fol. 128. (b) vid. Eras. prou. *malum benè conditum*, &c. *mouere camerinam*, & similia.

V. 845. (a) Odyss. o, 45.

V. 849. (a) Sup. v. 61.

V. 851. (a) infr. v. 1033. (b) Odyss. θ. 351. (c) v. [illegible].

V. 853. (a) v. 108. (b) v. 368. (c) in vita Solonis [illegible]1. (d) lib. 6. in oratione Niciæ f. 420.

V. 855. (a) vid. & supr. v. 697. 643. 299. (b) prou. *viri infortunati procul amici.*

V. 863. (a) v. 184.

V. 867. (a) Celtis potissimum. Strab. lib. 7. f. 209 Arrian. lib. 1. f. 5. Sed vnde metus iste? an quia fabulam de Atlante cœlifero amplexi, metuerunt, vt perpetuò tantam ille molem sustinere posset? an quoniam secuti somnium Anaxagoræ cœlum ex lapidibus conflatum. (Laert. lib. 2. p. 95.) ideoq; aliquandò collapsurum crediderunt?

V. 871. (a) vid. infr. v. 1065.

V. 875. (a) Lib. 3. f. 106. (b) Moscho βαθύφυλλον Idyl. 5. v. 11. & per conf. ἀμφὶ, quomodo vocatur à Theoc. Idyl. 18. v. 44. & 46. (c) Ouid. Remed. 1. v. 141. *platanus riuo gaudet.*

V.887. (a)Hom. Iλ.ζ.v.538. (b)v. 288.vid. & Hom. hym.in Apoll.v.220.(c)Suid.κυψελιδῶν ἀνάθ.

V.893. (a)Hom. Iλ.β.350.

V.897.(a)Olymp. hym.7.v.80.

V.899. (a)Antholog. lib.1.cap.12.Ep.6. Ausonius prius dist.ita vertit:

Re fruere vt natus mortalis: dilige sed rem
Tanquam immortalis: sors est in vtroq; verenda.

Epig.137. cuius titulus Menandrum autorem facit.refer huc & exemplum Hipponici, de quo Isocr. ad Dem. p.4. (b)Hesiod. l.1.v.93. (c) Pyth. aur. carm. v. 37. (d) prou. *Felicium multi cognati.* sup.v.855. (e) Phœniss.v.445. (f) Iλ.ι.533.

V.929.(a) huc fortè referas Epith. θεοείκελος. Iλ.α.131. (b)vid.Odyss.v.433.(c)Iλ.ζ.216.meminit Lucia. εἰς ἀπαίδ.tom.1.p.760.(d)Plato 3.de Rep.fol.620. οὐκ οὖν ὅτῳ ἂν ξυμπίπτῃ ἔν τε τῇ ψυχῇ καλὰ ἤθη ἐνόντα, καὶ ἐν τῷ εἴδει ὁμολογοῦντα ἐκείνοις καὶ ξυμφωνοῦντα, τοῦ αὐτοῦ μετέχοντα τύπου, τοῦτ' ἂν εἴη κάλλιστον θέαμα τῷ δυναμένῳ θεᾶσθαι;(e)v.41.

V.943.(a) lib.10.f.225. N.457. Dalecampius hunc sensum adscribit: *Quinq; classis præfecti, pugnam decē nauibus commiserunt. Præliatum saxis, quamuis in æquore saxum nullum possit colligi. Bellatores siti perierunt, ardore pugnandi æstuantes & sitibundi, quamuis aqua mentum superaret depressis ac submersis nauibus.* Vid.& Casaub.animadu.in eundē locum, f. 485.

V.953. (a)lib.1.v.61.

V.957. (a) sup.v.128. (b) legitur apud Gellium, lib. 12.c.11. (c) Hippol.v.428. vid.prou.*Tempus omnia reuelat.*

V.965.

V.969. (a) Athen.lib.10.f.214.N.434.(b) f.216.N.437.

V.977. (a) v.80. (b) Etymol. Ionibus tribuit fol.473. Eustathius vtrisq. Iliad. f.53. nam, vt idem fol.7. lin.32. ἐν πολλοῖς ἐπιμερισμοῖς αἱ δύο αὗται διάλεκτοι. (c) ἄλλων, Anthol. lib.1.c.9. Epigr. penult.

V.983. (a) ad v.657.

V.985. (a) Philoctet.v.504.(b) Olymp.hym.2.v.62. (c) Odyss. Σ.v.135, Similiter Eurip.Hippol.v.701. & Terent.Hec. 5.3.

V.987.(a) Apoll.Rhod.4.Arg.v.1767.[illegible]

V.991.(a) [illegible], secund. Anthol. 1. c. 91. Ep.1. tametsi Gilbertus Cogn. ex vetustissimo Epigrammatum codice asscribit Luciano, cuius vid. tom. 4.p.574.

V.997.(a) serm.49.N.168.

V.1001.(a) vt & supr.v.977. (b) Idyll.14.68.

V.1011.(a) sup.v.1002.

V.1017.(a) sup.v.846.(b) Strab.l.13.fol.430.

V.1021.(a) lib.1 v.285.

V.1023.(a) Med.v.1056.(b) Aristoph. Acharnens.v.449. (c) ibid.v.479.(d) sup.1019. (e) Idyll. 21.1. (f) sup.815. (g) Ιλ.θ. 16. (h) Hesiod.l.1.v.354.

V.1033.(a) supr.v.851.

V.1035.(a) Ιλ.χ. 30.(b) Euseb.l.5.præp. Euang.f.132. Athen.l.1. f.11.N.22. Plinius eundem sensum citat l.23.c.1. ex Hesiodo, quem vid. lib.2.v.206.& seqq.(c) Athen.ibid. & l. 10. f. 212. N.430. Plutarch. 1.Symp. quæst.1.Gell. lib. 17.11.

V.1043.(a) Eurip.Alc.v.788. supr.v.474.

*V.*1045.(a)Iliad.α.297.δ.39.ι.259.& alibi. (b)Iliad. β.33.

*V.*1051.(a) Theog.93.sup.v.755.(b)vid.Schol.Thuc. lib.3.f.242.n.3.Sylburg.ad fol.471.Pausan.

*V.*1055.(a) vid.Bud.Comment.Gr.lin.f.544.Similia apud Hesiod.1.42.Soph.Oed.Tyr.711.741.& alibi.

*V.*1059.(a) lib.8.fol.168.N.336.(b)v.790.(c)v.5.(d) Eurip.Bacch.v.772. vid.prou. *Sine Cerere & vino friget Venus.*

*V.*1065.(a)sup.v.871.

*V.*1069.(a)sup.v.215.(b) Odyss.ν.291.(c)ibid.v.299. (d)v.331.(e)ex Eurip.Cycl.v.316.

*V.*1073.(a)sup.v.659.585.159.(b)v.785.(c)v.586.

*V.*1077.(a) sup.v.39.

*V.*1081.(a)v.383.

*V.*1083.(a)lib.3.f.96.

*V.*1099.(a)lib.1.fol.39.N.69.

*V.*1105.(a)sup.v.619.

*V.*1113.(a)lib.1.v.311.

*V.*1119.(a)lib.7.f.252.N.454.vid.prou. *Animus in auribus.*& Cam.problem.9.decur.1.

*V.*1125.(a) Alcæus: οἶνον γὰρ Σεμέλας καὶ Διὸς λαθικάδε' αἰθρώποισιν ἔδωκεν,apud Athe. lib.10.f.212.N.430.(b) Pausan.Lacon.lib.3.f.102.

*V.*1129.(a)Suid.αε.

*V.*1131.(a) Hesiod.lib.1.v.96.(b)ibid.v.174.& seqq. (c)Ouid.Pont.1.7.

Hæc Dea cum fugerent sceleratas Numina terras,
In dijs inuisâ sola remansit humo.

V.1149.(a)sup.v.1115.
V.1153.(a)Iliad.λ.636.
V.1157.(a)sup.v.409.(b)sup.v.441.
V.1167.(a) sup.v.31.(b) in sept.ad Theb.v.526.(c)1.
Cor.15.33.sup.305.(d)Odyss.ϑ.837.λ.463.
——— Κακὸν δ' αἱμυλίαι βάζειν.
V.1177.(a)vid.& supr.v.639.& 153.
V.1181.(a)Iob.28.v.28.Ps.111.v.10.Prou.1.7.& alibi.
(b) ad Demonic.p.6.
V.1183.(a) habentur nunc circa fin.v.1233.(b) sup.v.
797.
V.1187.(a) sup.v.727.
V.1191.(a)v.488.Virg.Aen.6.436.
——— *Quàm vellent æthere in alto*
Nunc & pauperiem, & duros perferre labores.
V.1195.(a) vid.apud Herod.lib.6.Er.f.229.N.413.
V.1197.(a)lib.2.v.66.
V.1217.(a) Rom.12.15. χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων.
V.1219.(a) sup.v.61.
V.1223.(a)v 602.(b)v.182.
V.1225.(a) Pind.Olymp.7.v.53.
V.1237.(a) Athen.lib.10.f.227.N.457.

FINIS.

Errata,

QVORVM PLERAQVE OB LITERARVM ACCENTVVMQVE, AC punctorum in Prototypo exilitatem videntur irrepsisse, ad hunc modum corrigantur:

IN præfat. p. 2. l. 4. πάμπολλον. lin. 15. τίκμηρ lin. 20. ἐντυποῦσι. p. 3. l. pen ἵζειν. p. 7. l. 19. ἐπιβαλλών. In Hypomn. vers. 6. l. 2. ῥᾳδι. v. 12. l. 2. τερείαν. lin. 6. πολυθρυλλ. v. 22. l 9. ισφᾶν. v. 53. l. 1. ἐνταῦθα v. 129. l. 7. ἥλιος. v. 173. l. 24. ἔχει. v. 196. l. 11. διαλανέτι. v. 203. l. 3. παραβολλυθεν. v. 213. l. 1. πολυτρ. v. 219. l. 3. θορυβεῖν. v. 236. l. 17. σοχαζ. v. 288. l. 3. ἀθῶ. v. 323. l. 10. πρᾶμος. v. 329. l. 4. ἰυβείας. & mox ἰδ. v. 349 l. 4. ἴδμ. v. 421. l. 10. ἄτι v. 425. l. pen. πολλῶν. v. 437. l. 5. μένωσι. v. 439. l. 3. λαλ. τι. v. 472. l. 2. ποιῆσαι ἀναγκ. partic. μὴ omissa. ib. lin. 6. ἰκανῶς. v. 487. l. 3. ἰκκλησ. v. 489. l. 2. προσήκοντα. v. 511. l. 16. οἴαν. v. 599. l. 4. μετὰ δὲ ἀρ. v. 603. l. 13. ἰαμβεῖα. v. 683. l. 8. γιγνομ. v. 697. l. 10. μαθήματα. v. 729. (pag. 86. l. 11.) ἥδυ. v. 771. l. vlt. προθύμως. v. 803. l. 4. πρατ. v. 823. l. 2. ἰδυπαθεῖας. v. 875. l. 9. μακροχ. v. 887. (pag. 102. l. 2.) τὸ ἐν ὀλ. v. 899. (p. 104. l. 16.) [illegible] v 957. l. 17. ἐγώ. v. 1011. l. 5. συνομιλ. v. 1077. l. pen. [illegible] v. 1087. l. 11. [illegible] & l. 12. βρόγχ. v. 1237. l. 3. κόχλα.